Ε'' χει δὲ, ἡ τὰ ζωοτοκοῦντα πρὸς ἄλληλα διαφορά. τὰ μὲν γὰρ οὐ μόνον θύραζε ζωοτοκεῖ, ἀλλὰ, καὶ οὐ' αὐτοῖς. οἷον ἄνθρωποί τε, καὶ ἵ'ππoι. καὶ κυῶες, καὶ πάντα τὰ δίχας ἔχοντα. καὶ τῶν οὐ'δάτων, οἷον δελφῖνες τε, καὶ φάλαιναι, καὶ τὰ τοιαῦτα κήτη. τὰ δὲ στελάχη, καὶ οἱ ἔχις, θύραζε μὲν ζωοτοκοῦσιν. οὐ' αὐτοῖς δὲ ὠοτοκοῦσι πρῶτον. ὠοτοκοῦσι δὲ τέλειον ὠόν. οὕτως γὰρ γεννᾶτε ἐκτὸς ὠοῦ τὸ ζῷον. διὰ ἀτελοῦς δὲ οὐ διαζῆ. θύραζε δὲ οὐκ ὠοτοκοῦσι, διὰ τὸ ψυχρὰν τινὰ φύσιν ἔπαι. καὶ οὐ χάσπινές φασι θερμήν. μαλακόθερμα γοῦν γεννῶσι, διὰ γὰρ τὸ εἶναι ὀλιγόθερμα, οὐ ξηραίνει αὐτῶν ἡ φύσις τὸ ἔσχαζον. διὰ μὲν δὴ τὸ ψυχρὰ εἶναι, μαλακόθερμα γεννῶσι. διὰ δὲ τὸ εἶναι μαλακόθερμα, οὐ θύραζε, διεφθείρετο γὰρ ἄν.



αὐτὰ ἰ'χθύων, θερμότητα. ὅπ δὲ σκληρά ἐστι, δῆλον καὶ ἐκτὴς αἰσθητικῆς. οἷον γὰρ ἀλέανδον διὰ σίνηπι, τοιοῦτα μὲν οὕτως.

Τ ὁ δὲ ζῶον οὐ' ζῆς στελάχεσι γίνεσθαί φασι, τὸν αὐτὸν ζόπον ὕπερ καὶ οὐ' ζῆς ὀρνισιν. Ο''σπερ γὰρ οὐ' ζῆς τῶν ὀρνίθων αἱ ὄις τὸ μὲν λοβικὸν πᾶν γίνεται τὸ ζῶον, τὸ δὲ ὀχὼν κάπτο λιμπάνεται εἰς ζοφὼ ζοῦ ζῴου, οὕτω καὶ οὐ' ζῆς τῶν στελαχῶν αἱ ὄις, Μέρος μὲν γὰρ ζοῦ αὐτοῦ γίνεται στελάχιον, Μέρος δέ πι ἐᾶται πρὸς ζοφὼ αὐζοῦ.

Ο''τιν δὲ ζῷον ἐκ ζοῦ αὐτοῦ γίγνηται, τὸν αὐτὸν ζόπον τὰ ταλεῖα γίγνεται ὄν περ οὐ' ζῆς ὀρνιθίοις, κάπτο βαίνει κάπτω, καὶ γίγνεται ζῶα πρὸς ζῆς ἀρθροις, καθάπερ, καὶ ζῆς ἀρχῆς δ'ὐὸς ζωοζοκοῦσι. διὰ, ἡ τινὰ ὑστέραν τὰ ζιαῦτα ζῷα ἔχει ἀνομοίαν, καὶ ζῆς ζωοζοκοῦσι, καὶ ζῆς ὠοζοκοῦσι, διὰ τὸ ἀμφοτέρων μετέχειν τῶν ἄλλων. καὶ γὰρ πρὸς τὸ ὑποζώματι ἔχουσι, καὶ κάπτω περικύκλουσιν πόντα τὰ στελαχώδη. διεῖ δέ, καὶ πτελὶ ταύτης, καὶ πτελὶ τῶν ἄλλων ὑστέρων ὃν ζόπον ἔχουσιν, ἐκτῶν ἀναζομῶν τεθεωρικόαι. καὶ τῶν ἱ'στοριῶν. ὥστε διὰ μὲν τὸ ὠοτόκα εἶναι τελείων ὠῶν ἔχει. διὰ δὲ τὸ ζωοζοκεῖν, κάπτω. ἡ ἀμφοτέρων μετελήφασι. τὰ δ'ὐὸς ζωοζοκοῦντα πόντα κάπτω. οὐ γὰρ ἐμποδίζει οὐδὲν ἔργον τῆς φύσιως, οὐδ'ἐσπῆ ογονεῖ.

Γ ρὸς δὲ ζούζοις, ἀδιαίλον ζῷα γίνεσθαι πρὸς ζῆς ὑποζώμασι. τὰ μὲν γὰρ ἔμβρυα, βαρὸς ἔχειν ἀναγκαῖον, καὶ κίνησιν. ὁ δὲ ζόπος ἐπίκαιρος ὢν ζ ξιῶ, οὐκᾶν διαίλοιτο ζαῦ θ'ὑπενεγκεῖν.

Ε ἱ'πῶν τίνος οὕ'εκα τὰ ὠοζοκοῦντα πρὸς ζοῖς ὑποζώμασιν ἔχουσι τὰς ὑστέρας, τὰ δὲ ζωοζοκοῦντα κάπτω πρὸς ζῆς ἀρθροις. λέγει. πρὸς δὲ ζούζοις ἀδιαίλον, ζῷον γίνεσθαι οὐ' ζῆς ὑποζώμασι. τὰ μὲν γὰρ ἔμβρυα ἀναγκαῖον βαρὸς ἔχειν. (σώματα γὰρ ἔσ'ὶ) καὶ κίνησιν. Κινοῦνται γὰρ οὐ' ταῖς ὑστέραις ὄντα. ὁ δὲ πρὸς τῷ ὑποζώματι ζόπος, οὐ ᾧ αἱ φρένες, ἐπίκαιρος, ζουτέστι ἀναγκαῖος ὢν πρὸς ἀ ζῆν, οὐκᾶν διαίλοιθ'ὑπενεγκεῖν ἡ βαρὸς, καὶ τινὰ κίνησιν ζοῦ ἐμβρύου. διαπνοίας γὰρ ἂν, καὶ ὅλως τοιγμοὺς ἐποίᾳ ἂν ἔμβρυον, πεφυκεμένου τὰ ἀναπνευστικὰ μόρια οὕτω κεῖσθαι. Καὶ μὴ ἐὼν αὐτὰ ἀνεμποδίστως, καὶ κάλως ἀποπληροῦν ἃ οἰκεῖον ἔργον. ὥστε ἀναγκαῖον ἐστὶ μὴ κεῖσθαι τοὺς τῶν ζωοζοκούντων ὑστέρας πρὸς τῷ ὑποζώματι, ἵνα μὴ τοῖς γίνεται οὐ'τῷ πίκῃ.

Ε'' τι δὲ ἀναγκαῖον διυσκινίαν εἶναι διὰ τὸ μῆκος τῆς φορᾶς. ἐπὶ καὶ νῦν ἐπὶ τῶν γυναικῶν, ἐὰν πτελὶ ἓν τόκον ἀναπαύσωσι χαμηζούμεναι ἢ πῖ τοιούτων ποιήσωσι, διυσκοῦσι. ἡ κοναὶ δ'οὗσαι αἱ ὑστέραι, ἄνω πεφυκέναι ὠνίουσι. ἡ γὰρ ἀναγκαῖον

Ε'' τι δὲ ἄνω κάμπων τῶν ὑστερῶν, ἀναγκαῖον διυσκινίαν γίνεσθαι διὰ τὸ ἀπόπημα τὸ ἀπεκεῖσθαι μέχρι τῶν ἀρθρων. ὅπου καὶ νῦν πρὸς τοῖς ἀρθροις κειμένων τῶν ὑστερῶν, ἂν πτελὶ ἓν τόκον ἀναπαύσωσιν αὐ-

τὰς ἀπὸ τὸ ὑποζώμα χασμητούμενα (ἕλκουσι γὰρ αὐτὰς καὶ ἀνάγουσιν αἱ χάσμαι) διυστῆκασι. καὶ διὰ τὸ πεφυκέναι τὰς σχάσμας ἀναγειν ἀπὸ τὸ ὑποζώμα τὰς ὑστέρας οὐκέωσιν αἱ μαῖαι τὰς πικτούσας πρὶν ἂν καιρὸν τοῦ τόκου χασμᾶσθαι, μᾶλλον δὲ πάρμους πρασκλάζουσι, διὰ τὸ ἀπωθεῖν κάτω τὰς ὑστέρας τοὺς πάρμους. Οὐ μόνον δὲ τῶν ὑστερῶν ἐχουσῶν ἔμβρυον ἡ ἄνω ἀπὸ τὰς φρένας ἀναπνοὴν γίνονται, διὰ τὸ παρακεῖσθαι αὐτοῖς (ὡς εἴρηται) τὰ ἀναπνευστικὰ μόρια, ἡ διὰ τὸ τὰς φρένας ἐλαττοῦσθαι ὑπὸ τοῦ βάρους, καὶ τῆς ἀπ' αὐτῶν ὑγρότητος. Καὶ ἡ ἐπὶ τῶν ἀνδρῶν, ὅταν ὑπὸ πολλῆς οἰνοποσίας καὶ τῆς ἀπ' αὐτῆς πολείονος ἀπὸ γεννομένοις ἀναθυμιάσεως ὑγραινθῶσιν αἱ φρένες, βλάπτονται τε, ἡ παραφρονοῦσι. Ἡ γὰρ μέθη (διὸ παραφρονεῖν καλεῖν δίκαιόν ἐστι,) γίνεται ὑγραινομένων τῶν φρενῶν ὑπὸ τῆς ἀναθυμιάσεως γεννωμένης ἀπὸ τῆς πολλῆς οἰνοποσίας. ἀλλὰ περὶ τούτου εἴρηται, καὶ οὐ τῆ περὶ ζώων μορίων. Ἡμῖν δὲ ἐλέγετο, ὅτι οὐ μόνον ἐχουσῶν τῶν ὑστερῶν ἔμβρυον, δύσπνοιαι, καὶ πνιγμοὶ γίνονται, ἀλλὰ καὶ κενῶν οὐσῶν, ἡ ἀναπαυομένων ἄνω, πνίγουσιν. Ἐπὶ δὲ πᾶσι μεμελέτηκεν, ὡς εἰ πνίγουσιν αἱ ὑστέραι ἄνω ἀναπαυόμεναι, ἀνάγκη συσκώδεις αὐτὰς εἶναι. εἰ γὰρ μὴ συσκώδεις, δῆλον ὡς οὐδὲν ἥξουσι, ἀνάγκη δὴ συσκώδεις εἶναι, καὶ ἰσχυροτέρας τῶν τε φρενῶν, ἡ τῶν ἀναπνευστικῶν μορίων. Ὅπερ δὴ καὶ ἐμελέτησε πάσχειν ἀπορον ἐπάγειν, οὕτως ὡς ἀληθὲς ἂν ὁμολογῆ, φησὶ γὰρ, πνίγουσιν δὴ καὶ αἱ ὑστέραι ἄνω πρόσταμαι. Καὶ γὰρ ἀναγκαῖον τὰς μελούσας ζῶον ἔξειν, ἰσχυροτέρας εἶναι τῶν φρενῶν, ἡ τῶν ἀναπνευστικῶν μορίων, καὶ συσκώδεις. ἀλλὰ πῶς αἱ τῶν ὀρνίθων ὑστέραι ἄνω δύσασαι πρὸς τῷ ὑποζώματι, οὐ πνίγουσι τὰς ὄρνιθας; ἢ φησὶ μονώδεις ἔσεσθαι, οὕτως, καὶ οὐ συσκώδεις. Τὸ δὲ μονώδεις οὔτε ἰσχυρόν ἐστι, οὔθ' ὑγρὸν καὶ ἕαρυ, ὡς τὸ συσκώδεις. Ἀλλὰ καὶ ἐπ' αὐτῶν φησι τῶν ποιουμένων δηγονίαν, ζωντέσι τῶν ὠοκούντων καὶ ζωοτοκούντων, φανερὸν ὅτι πνιγμοὶ γίνονται ἄνω κειμένων τῶν ὑστερῶν. Τὰ μὲν γὰρ ὠὰ ἄνω, καὶ οὐ τῷ πλαγίῳ ἰσχουσι, διὰ τὸ μὴ κινεῖσθαι, μὴ δὲ βαρὺς ποιεῖν. τὰ δὲ ζῶα, κάτω.

τὰς μελλούσας ζῶον ἔξειν, ἰσχυροτέρας εἶναι, διὰ συσκώδεις δὲ ἐστὶν αἱ ζιχοῦται πᾶσαι. αἱ δὲ πρὸς τοῖς ὑποζώμασιν, μονώδεις, καὶ ἐπ' αὐτῶν δὲ τῶν δηγονίαν ποιουμένων ζώων, φανερὸν τοῦτον συμβαίνει. τὰ μὲν γὰρ ὠὰ, ἄνω μὲν οὐ τῷ πλαγίῳ ἰσχουσι, τὰ δὲ ζῶα οὐ τῷ κάτω μέρει τῆς ὑστέρας. διὸ μὲν οὖν αἰτίαν ὑπεναντίως ἔχουσι τὰ περὶ τῆς ὑστέρας οἰκεῖα τῶν ζώων, καὶ ὅλως διὰ τοῖς μὲν ἄνω, ζοῖς δ' κάτω πρὸς τὸ ὑποζώματί ἐστιν, εἴρηται. διότι δ' τὰς μὲν ὑστέρας ἔχουσι πάντας οὐτος, ζοὺς δὲ ὄρχεις τὰ μὲν, ἐκτός, τὰ δὲ, οὐτός. αἴτιον τοῦ μὲν τὰς ὑστέρας οὐτος εἶναι πάσας, ὅπ οὐ ταύτοις ἐστὶ φυλακῆς, ἡ σκέπης, ἡ πέψεως. ὁ δ' ἐκτὸς τοῦ σώματος τόπος, εὔλαπτος καὶ ψυχρός. οἱ δὲ ὄρχεις τοῖς μὲν, οὐτός, τοῖς δ', ἐκτός, διὰ τὸ θᾶττον κρίνεσθαι τούτους σκέπης, καὶ κατὰ μικρὸν πρὸς τὴν σωτηρίαν, ἡ πρὸς τὴν τοῦ σπέρματος πέψιν. ἀδιαίτητον γὰρ ἐψυγμοὺς, καὶ πεπηγότας ἀναπαύσαι, ἡ ὠρίεσθαι τὴν γονιμότητα. διόπερ ὅσοις οὐ φανερῶς ἔστιν οἱ ὄρχεις ἔχουσιν σκέπαι διεφραγμένοι τὴν κατὰ τὸν μηρὸν ὀσχέαν.

Σ αφῶς δὲ κατολέγει τὰς αἰτίας, δι' ἃς αἱ μὲν ὑστέραι πᾶσαι οὐτός ἐστι. τῶν δὲ ὄρχεων οἱ μὲν οὐτός, οἱ δὲ ἐκτός. καίτοι εἴ τι περὶ τῶν ὄρχεων ἱκανὰς αἰτίας, ἀλλὰ φησὶ πρὸς τοῖς ἀρμοῦσιν ἔστασιν καὶ αὗται, ἀναπαύεσθαι δὲ φησὶ ζοὺς ἐκτὸς ὄρχεις, οὐ τῇ τῆς γονῆς προέσει, ἵνα γίνωνται οἱ οὐ αὐτοῖς ἐλικοειδεῖς πόροι οὐ τῇ ἀνασπάσει, ἐπ' ὀλίγον θείας τῷ αἰδοίῳ. ἡ γὰρ μὲν, ἐστὶ ἄνω, οἱ δὲ ὄρχεις, καὶ οἱ οὐ αὐτοῖς πόροι κάτω, οὐ καὶν ἐκάστως ἀνέρχοιτο ἐπ' αὐτῶν πρὸς τὸ αἰδοῖον ἡ γονή. ὥστε ἀναγκαῖον μὲν, καὶ διὰ τὴν θερμότητα, ὥσπερ εἴπομεν, ἡ οὐ τῇ ἀρχῇ τοῦδε τοῦ βιβλίου, ἀναγκαῖον τὸ, καὶ διὰ τὴν λεχθεῖσαν νῦν αἰτίαν. ἔχουσι δὲ οἱ ὄρχεις οὐτος τοὺς ὄρχεις, καὶ διὰ τὴν τοῦ σπέρματος σκληρότητα, καὶ διὰ τὸ ἀσύμμετρον εἶναι, κατὰ μέγεθος περιλαβεῖν, καὶ σκέπειν τοὺς ὄρχεις. ὅμοιον δ' ἐστὶ τὸ θρεμμάτιον, ὥσπερ ἂν εἴ τις εἰποιεν ἀσύμμετρον εἶναι τὸν μέλιμνον κατὰ μέγεθος, δύο ἅμα χωρῆσαι μελίμνους. καὶ ἔτω φησὶ πρὸς τοῖς θρεμμάτοις αἰτίαις καὶ αὐτὴν τοῦ τὰ μὲν ἔχειν ἐκτὸς, τὰ δ' οὐτὸς τοὺς ὄρχεις. εἴη δ' ἂν αὐτὴ ἡ αἰτία ἀπὸ τῆς ὕλης, καὶ ὅλως ὡς ὑλική.

Κ εἴντοις δὲ οὐ τῇ θέσει ὑπεναντίως αἱ ὑστέραι τοῖς τε ζωοτοκοῦσιν οὐ αὐτοῖς, καὶ τοῖς ὠοτοκοῦσι θύραζε, καὶ τοῦτων τοῖς τε τὰς ὑστέρας ἔχουσι κάτω, καὶ τοῖς πρὸς τῷ ὑποζώματι, οἷον τοῖς ἰχθύσι πρός τε τοὺς ὄρνιθας, καὶ τὰ ὠοτόκα τῶν τεττάρων, καὶ τοῖς κατ' ἀμφοτέρους τοὺς τόπους γεννῶσιν, οὐ αὐτοῖς μὲν ὠοτοκοῦσιν, ὡς δὲ φανερὸν ζωοτοκοῦσι. τὰ μὲν γὰρ ζωοτοκοῦντα, ἡ οὐ αὐτοῖς, καὶ ἐκτὸς, ἐπὶ τῆς γαστρὸς ἔχει τὰς ὑστέρας, οἷον ἄνθρωπος, καὶ βοῦς, καὶ κύων καὶ τἄλλα τὰ τοιαῦτα. πρὸς γὰρ τὴν τῶν ἐμβρύων σωτηρίαν καὶ αὔξησιν συμφέρει μηδὲν ἐπεῖναι βαρὸς ἐπὶ τοῖς ὑστέραις. ἐστὶ δὲ, καὶ ἕτερος ὁ πόρος δι' οὗ ἡ τέξησα περίπωσις ἥξει ἔρχεται, καὶ δι' οὗ ἡ ὑγρὰ τούτοις πᾶσι. διὸ ἔχουσιν αἰδοῖα τὰ τοιαῦτα πάντα, καὶ τὰ ἄρρενα, καὶ τὰ θήλεα. καθ' ἃ ἐκκρίνεται τὸ περίπωμα τὸ ὑγρόν. καὶ τοῖς μὲν ἄρρεσι τὸ αὐτὸ ἔρμα, ζοῖς δὲ θήλεσι τὸ κύημα, οὗτος δ' ἐπάνω, καὶ οὐ ζοῖς προδρίοις ὑπάρχει ὁ πόρος, ἕτ τῆς ἔηρᾶς ζοφῆς.



χουσι. καὶ τὰ ὠοτόκα, καὶ τετράποδα τῶν φολιδωτῶν. ἡ τὸ τῶν ὀρνίθων δὲ δέρμα σκληρόν. ὥστε καὶ τὸ μέγεθος ἀσύμμετρον ἔσεσθαι περιλαβεῖν. καὶ ταύτην τὴν αἰτίαν εἶν πᾶσι τούτοις πρὸς τοῖς θρεμμάτοις πρότερον ἐκτῶν περὶ τὰς ὀχέας συμβαινόντων ἀναγκαίων. διὰ τὴν αὐτὴν δ' αἰτίαν καὶ ὁ ἐλέφας, καὶ ὁ ἐχῖνος, οὗτος ἔχουσι τοὺς ὄρχεις. οὐ δὲ γὰρ τούτοις δι' φύσεως τὸ δέρμα πρὸς τὸ χωρισὸν ἔχειν τὸ σκεπαστικὸν μόριον.

Ε πειδὴ τῶν θέσεων ἡ μὲν ἐστὶ ἄνω, καὶ κάτω, ἡ δὲ ἔμπροσθον, καὶ ὄπισθον. ἀποδοὺς τὰς αἰτίας, δι' ἃς τὰ μὲν τῶν ζώων (ταῦτα δ' ἦσαν τὰ ὠοτόκα) ἄνω ἔχουσι πρὸς τὸ ὑπόζωμα τὰς ὑστέρας, τὰ δὲ κάτω πρὸς τὰ ἄρθρα, (ταῦτα δ' ἦσαν τὰ ζωοτόκα). τὰ δὲ τὴν ὑστέρας ἄνω, τὸ δὲ κάτω, ταῦτα δὲ πάλιν ἦσαν τὰ δηγονωῦτα. νῦν ζητεῖ, καὶ τὰς αἰτίας ἀποδίδωσι, τοῦ δὴ τὰ μὲν, ἔμπροσθον ἔχει αὐτὰς, καὶ πρὸς τοῖς ἄρθροις οὔσας, τὰ δὲ ὄπισθον πρὸς τὴν ὀσφύν. ἀποδίδωσι δὲ ζοῦ τὰ ζωοτόκα, ἐπὶ τῆς γαστρὸς, ἡ τὴν ὑπίων, ὃ ἴδιον τούτων ἐστὶ τὸ ἔμπροσθον ἔχειν τὰς ὑστέρας, δύο αἰτίας. ὧν μία αὕτη. ἐπειδὴ τὰ ὕπτια ἥκιστα τὰ πρόσθεια, σκεπάζει, καὶ μαλακά ἐστι, τὰ δὲ πρανῆ, καὶ ὁ πόσθον ὀστώδη, ἡ σκληρά. αὔξεται δ' ὁ ἔμβρυον κατὰ βραχὺ, καὶ τελοῦντες. εἴπερ ἐκφύω τῶν ζωοτοκούντων αἱ ὑστέραι ὄπισθον πρὸς τοῖς πρανέσι, καὶ τῇ ράχει, οὐ ἐμποδίζοι ἄν, καὶ ἐκωλύετο ἡ τῶν ἐμβρύων αὔξησις, ἡ σωτηρία, ἥκιστα ἀνάπαυσις, διὰ τὴν σκληρότητα. ὁ γὰρ αὐξηθησόμενον, ἐν μὲν οὐ μαλακῷ ἐστι, καὶ ὑπείκοντι, ἥ δυναμούμενον τείνεσθαί τε, καὶ διαλοῦσθαι, καὶ δύνασθαι τόπον ζοῦ χωρεῖν, αὔξεται, καὶ ἐπίδοσιν λαμβάνει. ἐν δὲ οὐ σκληρῷ, καὶ μὴ δὲ ὅλως ἐξ ἐαυτοῦ ὑπείκοντι, οὐ διαμένει. διὰ τὸ γὰρ καὶ τὰ ξηρὰ, καὶ τὰ φυτὰ, καὶ πόντα τὰ αὐξόμενα, αὔξει, ὅτι ὁ ἀὴρ ἐν ᾧ ἐσμὲν, ὑπείκει δὲ ἐξ ἐαυτοῦ, καὶ διὰ δύναται χώραν ἡμῖν αὐξήσεως. ἐν δὲ τῷ σίδηρος ἦν τὴν φύσιν, ἡ ὅλως σκληρότατος, οὐδὲν ἂν ὅλως ἠυξήθη. ἐπεὶ οὖν ἀναγκαῖον τὰ ἔμβρυα οὐ τοῖς ὑστέραις αὔξεν, καὶ τελοῦσθαι, ὄπισθον

δὲ τῶν ὑστερῶν κῶλων, ἔχοντα μεγέθει οὐκ ἀμελητὰ τοσαῦτα ὄντα, καὶ σκληρῶν τῶν ὀπισθίων, ἀλλὰ μᾶλλον βαρύς, καὶ πόνον, καὶ ὀλίγῳ πρὸς γίνεσθαι αὐτοῖς, ἤτοι τοῖς ἐμβρύοις ἐκ τῆς σκληρότητος. διὸ τοῦτον γὰρ ἐστὶ δηλωτικὸν τὸ, μηδὲν ὑπεῖναι βαρὺς τοῖς ὑστέραις, διὸ λόγως οὐκ ὀπίσθιον, ἀλλ' ἐπὶ τῇ κοιλίᾳ, καὶ διὰ ἔμπροσθεν, (οὕτως γὰρ ὁ τόπος ὡς εἴρηται μᾶλλον, καὶ σαφέστερος) κεῖνται. μία μὲν οὖν αἰτία τὸ ἔμπροσθεν κεῖσθαι ἐπὶ τῶν ζωοτοκούντων τὰς ὑστέρας, αὕτη. δευτέρα δὲ, ὅτι καὶ ὁ πόρος δι' οὗ ἡ τῆς τροφῆς περίπωσις διέρχεται, ἔμπροσθεν κεῖται. ἐπεὶ οὖν ὁ πόρος οὗτος ἔμπροσθεν κεῖται, καὶ δι' αὐτοῦ διέρχεται τὸ ἔμβρυον, εἰκὸς ἂν καὶ διὰ ταῦτα αἱ ὑστέραι ἔμπροσθεν. οὗτος δὲ ὁ πόρος δι' οὗ, καὶ τὸ ἔμβρυον, καὶ ἡ τῆς τροφῆς τροφὴς διέρχεται περίπωσις, καὶ ἔμπροσθέν ἐστιν ὡς εἴρηται, καὶ ἐπάνω κεῖται τοῦ πόρου, δι' οὗ διέρχεται ἡ τῆς ἐγκάρδιας τροφῆς περίπωσις. δεῖ δὲ τὴν λέξιν τὴν, οὗτος δὲ ἐπάνω καὶ οὐ τοῖς ἐμπροσθίοις ὑπέρχει ὁ πόρος τῆς ἐγκάρδιας τροφῆς, ὑπερβατῶς ἀναγινώσκειν, οὕτως. οὗτος δὲ ὁ τῆς ὑγρᾶς τροφῆς πόρος, ἐπάνω ὑπέρχει τοῦ πόρου τῆς ἐγκάρδιας τροφῆς, καὶ οὐ τοῖς ἐμπροσθίοις. ὅτι δὲ ἐπάνω, δῆλον. μετὰ γὰρ τὴν ἀορτὴν ἐστὶ οὗτος, καὶ μετὰ ταύτην, ὁ τῆς ἐγκάρδιας τροφῆς. ὥστε, ὡς περὶ ἣν ἔφην ἐπάνω τούτου, οὕτω, καὶ οὗτος ἄνω, ἐκεῖσε ἂν, καὶ ἡ καλουμένη τραχεῖα κεῖται τούτου. εἰ γὰρ ἐκεῖσε ὑπτιάζοιτο, ὁ δὲ τῆς ἐγκάρδιας τροφῆς πόρος, καὶ οὐ λόγος ἐπάνω κεῖται τούτου. εἰ γὰρ ἐκεῖσε ὑπτιάζοιτο, ὁ δὲ τῆς ἐγκάρδιας τροφῆς πόρος, ἐπάνω τῆς ὑστέρας, οὕτω ἄνω, ἐκεῖσε ἂν, καὶ ἡ καλουμένη τραχεῖα τούτου. οὐ μόνον δὲ ἐπὶ τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ τῶν τετραπόδων καὶ τῶν φύσιν, ἐπάνω κεῖται οὗτος ὁ πόρος τοῦ τῆς ἐγκάρδιας τροφῆς πόρου. τὰ μὲν οὖν ζωοτοκοῦντα διὰ ταύτας τὰς αἰτίας, ἔχει τὰς ὑστέρας ἔμπροσθεν.

Τὰ δὲ ᾠοτοκοῦντα μὲν, ἀτελὲς δὲ, ἢ ᾠὸν προϊέμενα, ὥσπερ οἱ ἄρρενες ὄφεις, οὗτοι δὲ οὐχὶ πᾶσι τῇ μήτρᾳ, καὶ ἔμπροσθεν ἔχουσι τὰς ὑστέρας, ἀλλὰ πρὸς τῇ ὀσφύϊ, καὶ ὀπίσθιον. οὐ γὰρ αὖξεται οὐ ταῖς τὸ ᾠὰ, καὶ τελειοῦται, ἵνα βαρὺς ἐγγίνηται τοῖς ὑστέραις, καὶ πόνος, ἀλλ' ἔξω προΐεται, καὶ τελειοῦται. καὶ πρὸς τοῦτο, ἐπεὶ οὐκ ἄμοιρος ἐστὶ ὁ πόρος οὐ τούτοις ὁ τῆς ἐγκάρδιας τροφῆς, ἥδε ὁ τοῦ περιπώματος τῆς ἐγκάρδιας τροφῆς, καὶ ἄλλος ὁ τοῦ ὑγροῦ, ἀλλ' ὁ αὐτός. οὗτος δὲ ὀπίσθιον κεῖται, καὶ διὰ τοῦτο οὐ ταύτῃ αἱ ὑστέραι ὀπίσθιον κεῖνται, ἵνα ῥᾴδιον δι' αὐτοῦ διέρχηται τὸ ᾠόν. οὐ μὲν οὖν ταῖς ζωοτόκοις, καὶ διὰ τὸ βαρὺς, καὶ διὰ τὸ δύο εἶναι ταῖς πόρους τῶν περιπωμάτων, ἐκείνοις ἔμπροσθεν αἱ ὑστέραι. οὐ δὲ ταύτοις ὀπίσθιον, διά τε τὸ εἶναι ταῖν πόρον οὐκ, καὶ διὰ τὸ μὴ ποιεῖν βαρύς. ἅπτων δὲ ὅτι διὰ τὸ εἶναι δηλους, καὶ κεῖσθαι ἔμπροσθεν τὸν οὐκ, διαφέρει αἱ ὑστέραι ἔμπροσθεν κεῖνται, ἐὰν ἡγώμεθα, οὗ ἕνεκεν γὰρ τῆς γενέσεως μεγόνασι δηλοι οἱ πόροι, ἵνα διὰ τοῦ ὀσὸς εἰσέισιν ἡ γονὴ, καὶ ἔξεισι τὸ ἔμβρυον. καὶ ἐπεὶ διὰ τὴν γένεσιν μεγόνασι, ἀναγκαῖον οὗ ᾧ ἐστὶ ὁ πόρος, οὗ τοῦτο εἶναι, καὶ τὴν ὑστέραν, ἵνα, καὶ ἡ τῆς γονῆς εἴσοδος, καὶ ἡ τοῦ ἐμβρύου ἔξοδος ῥᾳδία γίνηται. ἀλλὰ διατί οὐχᾶς περὶ ἐπὶ τῶν ᾠοτοκούντων διὰ τοῦ αὐτοῦ, καὶ ἡ τοῦ ὠοῦ ἴσις ἦν, ἢ πέλας ἂν τῆς ὑστέρας τὸ καλούμενον ὑφλὸν οὐτερον, καὶ ἀπεναντίας τὸ ἔμβρυα ὑπὸ τῆς δυσωδίους ὀσμῆς.

Τὸ δὲ, δῆλον δὲ ἔξεστι, καὶ ἐκ τῶν ὠοτόκων. ὅσα μὲν πάντα φέρειν, ταυτόν ἐστι τῷ οὕτω λεγομένῳ. ὅτι δὲ οὕνεκα τῆς γενέσεως μέγεθος ἔμπροσθεν πόρος. καὶ οὐ διὰ τὴν ὑγρὰν περίπωσιν, δῆλον ἔξεστι ἐστὶ, καὶ ἐκ τοῦ

Τῆς γενέσεως γὰρ οὕνεκα, οὐ τῆς τοῦ ὑγροῦ περιπώματος ἐκ κρίσεως ᾗ δοκεῖ οἱ πόροι. διὰ δὲ τὸ ὑγρὰν εἶναι τὴν τοῦ ὠοῦ περίπωσιν κεκοινώνηκε τοῦ αὐτοῦ πόρου. δῆλον δὲ ἔξεστι, ἐκ τοῦ ὠοτόκα μὲν πάντα φέρειν τὰ ζῷα. περίπωμα δὲ μὴ πᾶσι γίνεσθαι ὑγρόν. ἐπεὶ οὖν δεῖ καὶ τοῖς τῶν ἀρρένων πόρους τὸ ὠοτερμα ἔχειν, ἵνα μὴ ἀλανᾶσθαι, καὶ τοῖς δηλέσι τὰς ὑστέρας, ἔδει δ' ἀναγκαῖον ἢ πρὸς τὸ πρόσθιον στόμαχος, ἢ πρὸς τὸ πρανῆ συμβαίνειν. τοῖς μὲν ζωοτόκοις διὰ τὸ ἔμβρυα εἶναι τοῖς προσθίοις αἱ ὑστέραι, τοῖς δὲ ὠοτόκοις, πρὸς τῇ ὀσφύϊ, καὶ τοῖς πρανέσιν.

Ὅσα δ' ὠοτοκήσαντα οὐ ὠοῖς, ζωοτοκεῖ ἐκ τοῦ, ταῦτα δ' ἀμφοτέρως ἔχει, διὰ τὸ μεταλλαφθαι ἀμφοτέρων, καὶ ἔνται, καὶ ζωοτόκα, καὶ ὠοτόκα. τὰ μὲν γὰρ ἄνω τῆς ὑστέρας, ἡ μὲν γίγνεται τὰ ὠὰ, ὑπὸ τὸ ὑπόζωμα πρὸς τῇ ὀσφύϊ ἐστὶ, καὶ τοῖς πρανέσι. προϊοῦσαν δὲ κάτω, ἐπὶ τῇ μασρί. ταύτῃ ζωοτοκεῖ ἤδη. ὁ δὲ πόρος εἷς καὶ ζοῦσις τῆς τε ἐγκάρδιας περιτ πώσεως, καὶ τῆς ὀχέας. ἃ δὲν γὰρ ἔχει τούτων αἱ δῖον καθάπερ εἴρηται ἀπεπτημένον. ὁμοίως δὲ ἔχουσι, καὶ οἱ τῶν ἀρρένων πόροι, καὶ τῶν ἰδίων καὶ τῶν ἐχόντων ὄρχεις, τοῖς τῶν ὠοτοκούντων ὑστέραις. πᾶσι γὰρ πρὸς ζοῖς πρανέσι πεφύκασι καὶ κάτω ἐν τόπῳ τῆς ἐάχεως, δεῖ γὰρ μὴ ἀλανᾶσθαι, ἀλλ' ἐδραίους εἶναι. διοῦσος δ' ὁ ὀπίσθιον τόπος. οὗτος γὰρ ἐστὶ συνεχὴς παρέχει καὶ τῷ στόμαχον. ζοῖς μὲν οὖν οὐκ ἔχουσι ζοὺς ὄρχεις δύ' ὄντες ὁρισμοί εἰσιν ἄμα ζοῖς πόροις. καὶ τοῖς ἐκτὸς δ' ὁμοίως. εἶτ' ἀπαντῶσιν εἰς οὐ πρὸς ἐν τοῦ αἰδοίου τόπον. ὁμοίως δὲ καὶ τοῖς θήλεσι φῖσιν, οἱ πόροι ἔχουσιν. ἀλλὰ ζοὺς ὄρχεις ἔχουσι κεκρυμμένους ὑπὸ τὸ πεῖ τῷ γαστέρα κῦτος. πῶς μὲν οὖν ἔχουσι τὴν θέσει πεῖ τὰ μόρια τὰ σωτελοῦντα πρὸς τῷ γένεσιν, καὶ διὰ τίνας αἰτίας, εἴρηται.



ὠοτερμα μὲν φέρειν πάντα τὰ ζῷα, περίπωμα δὲ μὴ πάντα. ὥστε διὰ τὸ ὠοτερμα, καὶ ὅλως διὰ τὴν γένεσιν, γίνονται οἱ πόροι, ἀλλ' οὐ διὰ τὴν ὑγρὰν περίπωσιν. διὸ γὰρ δι' αὐτὴν ἐγίνοντο, ὅσοις οὐκ εἰσὶ πόροι, ἀναγκαῖον πᾶσι ζοῖς γίνεσθαι καὶ περίπωμα ὑγρόν.

Ὅσα δὲ φησὶ ὠοτοκήσαντα οὐ ἐαυτοῖς ζωοτοκεῖ ἐκτὸς, ταῦτα δ' ἀμφοτέρως ἔχει, διὰ τὸ μεταλλαφθαι ἀμφοτέρων, ζοῦ τε ζωοτοκεῖν, καὶ τὸ ὠοτοκεῖν. ἔστι δὲ ἐλλιπὴς ἡ λέξις, εἰ μὴ δ' ἂν ἀπολῆρες αὐτῆς τοιοῦτον. ὅσα δὲ ὠοτοκήσαντα πρῶτον οὐ ἐαυτοῖς, καὶ ζωοτοκήσαντα, εἶτα ἐκτὸς ζωοτοκήσαντα, ζοῦτον τὸ μὲν, τῆς ὑστέρας ἄνω, καὶ ὑπὸ τὸ ὑπόζωμα κεῖται πρὸς τὸ πρανῆ, διὰ τὸ ὠοτοκεῖν, τοῦτο δὲ ταυτόν ἐστι πρὸ ἄνω καὶ ὄπισθεν. προϊούσης δὲ, τοῦτ' ἔστι τὸ λοιπὸν μέρος αὐτῆς, κάτω καὶ ἐπὶ τῇ μασρί, ὅπερ πάλιν ταυτόν ἐστι πρὸ κάτω, καὶ ἔμπροσθεν διὰ τὸ ζωοτοκεῖν. ἰδίους δὲ πόρους τῶν ἀρρένων λέγει ζοὺς χωρὶς ὄρχεων, καὶ κρὸ' ἑαυτοὺς ὄντας. ὅτι δὲ ἰδίους ζοὺς εἶπε, δῆλον πεποίηκε διὰ τῆς ἐπεχθείσης λέξεως, τῆς, καὶ τῶν ἐχόντων ὄρχεις, ὡς πινῶν μὲν πόρων χωρὶς ὄρχεων ὄντων, πινῶν δ' ἐχόντων ὄρχεις, καὶ οὐ ταῖς ἐπαναθλιβομένων ὄντων. τούζους δ' ἀμφοτέρους, καὶ ζοὺς ἰδίους, καὶ ζοὺς ἔχοντας ὄρχεις, λέγει ἐναντίως ἔχειν τοῖς ὑστέραις. τῶν γὰρ ὑστερῶν αἱ μὲν ἔμπροσθεν κεῖνται, αἱ δὲ ὄπισθεν. οἱ δὲ πόροι πάντες καὶ οἱ ἴδιοι καὶ μὴ ζοιοῦζοι, ὄπισθεν, καὶ τὴν αἰτίαν ζοῦ διὰ τι ὄπισθεν πάντες κεῖνται λέγει. δὴ γὰρ φησὶ αὐζοὺς μὴ ἀλανᾶσθαι, μὴ δὲ τῆδε κρικεῖσι φέρεσθαι, ἀλλ' ἐδραίους ἔνται, καὶ ὁρισμοὺς, καὶ ἀμετακινήζους. ὁ δὲ ὅπισθεν πᾶς τόπος συνεχὴς ἂν, καὶ ἐς διὰ τι ὁτοῦδης ἔνται, δίδωσιν αὐζοῖς τάσιν καὶ συνέχειαν, ζοῦ τέσζοῦ δίολον ὁρισθῆναι, καὶ μὴ τῇ μὲν ὁρισθῆναι, τῇ δὲ ἀπολελύσθαι τῆς ἕδρας. ζοῖς μὲν οὖν ἔχουσι ζοὺς ὄρχεις οὐ πρὸς, ἅμα ζοῖς ὄρχεσιν εἰσὶ πόροι πρὸς τῇ ὀσφύϊ ὁρισμοί. τοῖς δὲ ἐκτὸς ἔχουσι τοὺς ὄρχεις, οἱ πόροι μόνοι εἰσὶ οὐ αὐζοῖς ὁρισμοί.

Ε ἰπὼν περὶ τῶν γεννητικῶν μορίων τῶν ἐν αἱμῶν ὅπως ἔχουσι, λέγει τὰ δὲ ἄναιμα, εἰσὶ δὲ γένη τέτταρα, οὔτε ἑαυτοῖς ἔχουσιν ὁμοίως, οὔτε τοῖς ἐν αἱμοῖς, ἀλλὰ καὶ πρὸς τὰ ἔναιμα, καὶ πρὸς ἑαυτὰ διαφέρει. ἡ δὲ, τούτων δὲ περὶ μὲν πάντων ἄδηλον, ἡ τούτων, περὶ τῶν ὀστρακοδέρμων εἴρηται, περὶ πάντων γὰρ τῶν ὀστρακοδέρμων, ἄδηλον. τὰ δὲ μαλακόστρακα φησὶ συνδυάζεται, ὥσπερ τὰ ὀπισθουρητικά. ὀπισθουρητικὰ δὲ εἰσὶν, οἷον, λέων δασύπους. πῶς δὲ ὥσπερ ἐκεῖνα συνδυάζεται, ἐπάγειν, ὅταν γὰρ ἡ μὲν, ὕπτιον, ἡ δὲ πρανὲς, ἐπαλλάξη τὰ οὐραῖα. ἡ γὰρ θῆλυ ὕπτιον κείμενον, καὶ τὴν οἰκείαν κεφαλὴν φέρει εἰπεῖν ἔχον πρὸς ἄρκτον, ἡ δὲ οὐραῖον πρὸς νότον. τό, τε ἄρρεν πάλιν πρανὲς ὂν, καὶ ἐναντίως τὴν κεφαλὴν ἔχον πρὸς νότον, ἡ δὲ οὐραῖον πρὸς ἄρκτον, οὕτω δὴ ἔχοντα, τὴν συνδυασμὸν ποιοῦνται, ὥστε μόνα τὰ οὐραῖα ἅπτεσθαι ἀλλήλων. καὶ τοῦ μὲν θήλεος ἡ οὐραῖον, κεῖσθαι κάτω πρὸς τῇ γῇ, ἡ δὲ ἄρρενος οὐραῖον, κεῖσθαι ἐπάνω τοῦ τῆς θηλείας οὐραίου. ἡ δὲ λοιπὸν αὐτῶν σῶμα ἐκτάδην ἡ πλωμένον κεῖσθαι πρὸς τῇ γῇ.

Τῶν δ' ἄλλων ζώων τῶν ἀναίμων οὐχ ὁ αὐτὸς τρόπος τῶν μορίων τῶν πρὸς τὴν γένεσιν συντελούντων, οὔτε τοῖς ἐν αἱμοῖς, οὔθ' ἑαυτοῖς. ἔστι δὲ γένη τέτταρα τὰ λοιπὰ, ἐν μὲν, ἡ τῶν μαλακοστράκων. δεύτερον δὲ, ἡ τῶν μαλακίων. τρίτον δὲ, ἡ τῶν ἐντόμων. καὶ τέταρτον, τῶν ὀστρακοδέρμων. τούτων δὲ περὶ μὲν πάντων ἄδηλον. τὰ δὲ πλεῖστα ὅτι οὐ συνδυάζεται, φανερόν. τίνα δὲ συνίσταται τρόπον, ὕστερον λεκτέον. τὰ δὲ μαλακόστρακα συνδυάζεται μὲν ὥσπερ τὰ ὀπισθουρητικὰ, ὅταν ἡ μὲν ὕπτιον, ἡ δὲ πρανὲς ἐπαλλάξῃ τὰ οὐραῖα. τοῖς γὰρ ὑπτίοις πρὸς τὰ πρανῆ ἐπιβαίνειν ἐμποδίζει τὰ οὐραῖα μακρὰν ἔχοντα τὴν ἀπάρτησιν τῶν πτερύων.

Α' ντὶ δὲ τοῦ εἰπεῖν, ὅτι ἔχουσι δὲ αἱ θήλειαι τὰς ὑστέρας ἀνὰ δύο, εἶπεν, ἔχουσι δὲ τὰς ὑστέρας, ἐν θεν καὶ ἐν θεν, ἐσχισμένας. ὥστε τὸ ἐσχισμένας, ταυτόν ἐστι τῷ διπλᾶς. τὰ δὲ μαλάκια συμπλέκεται μὲν κατὰ στόμα ἀντερείδοντα, καὶ διαπτύοντα, τουτέστι συμπλεκόμενα, τὰ ἄρρενα καὶ τὰ θήλεα ὑπ' ἀλλήλων κατὰ τὰς πλεκτάνας. ὡς εἰ γυνὴ τὴν ἄνδρα, καὶ οὗτος αὐτὴν περιπλέκοντες διὰ τῶν χειρῶν, οὕτως καὶ τὰ μαλάκια ὑπ' ἀλλήλων ἐν τῷ συνδυασμῷ περιπλέκοντες ταῖς πλεκτάναις. συμπλέκοντες δὲ κατὰ ἡ στόμα ἐξ ἀνάγκης περὶ ἡ στόμα εἰ ἡ φύσις συνήγαγε, καὶ συνήνωσε τὸν πόρον, δ' οὗ ἐξέρχεται ἡ τῆς ξηρᾶς τροφῆς περίττωσις. λέγει δὲ ὅτι καὶ τὰ μαλακόστρακα, καὶ τὰ μαλάκια, τὴν αὐτὸν τῆς ὑστέρας πόρον ἔχει καὶ τῆς ξηρᾶς περιττώσεως. οὐ γὰρ ἄλλος μὲν ἐν τούτοις ὁ τοῦ περιττώματος πόρος, ἄλλος δὲ ὁ τῆς ὑστέρας, ἀλλ' ὁ αὐτὸς καὶ εἷς πρὸς ἀμφότερα

Ε' χουσι δὲ οἱ μὲν ἄρρενες λεπτοὺς πόρους θορικοὺς, αἱ δὲ θήλειαι, ὑστέρας ὑμενώδεις παρὰ ἡ ἔντερον ἔν θεν καὶ ἔν θεν ἐσχισμένας, ἐν αἷς ἐγγίνεται ἡ ᾠόν. τὰ δὲ μαλάκια συμπλέκεται μὲν κατὰ ἡ στόμα ἀντερείδοντα, καὶ διαπτύσσοντα τὰς πλεκτάνας, συμπλέκεται δὲ ἡ τρόπον τοῦτον ἐξ ἀνάγκης. ἡ γὰρ φύσις περὶ ἡ στόμα τὴν τελευτὴν τοῦ περιττώματος συνήγαγε κάμψασα, καθάπερ εἴρηται πρότερον ἐν τοῖς περὶ τῶν μορίων λόγοις. ἔχει δ' ἡ θήλεια μὲν ὑστερικὸν μόριον φανερῶς ἐν ἑκάστῳ τούτων τῶν ζώων. ᾠὸν γὰρ ἔχει ἡ μὲν πρῶτον ἀδιόριστον, ἔπειτα διακρινόμενον γίνεται πολλὰ, καὶ ἀποτίκτει ἕκαστον τούτων ἀτελὲς καθάπερ καὶ οἱ ᾠοτοκοῦντες τῶν ἰχθύων, ὁ δὲ πόρος ὁ αὐτὸς τῶν περιττώματος καὶ τοῦ ὑστερικοῦ μορίου, καὶ τοῖς μαλακοστράκοις. καὶ τούτοις. ἔστι γὰρ ἡ τὸν θορὸν ἀφίησι διὰ τοῦ πόρου, ταῦτα δ' ἐστὶν ἐν τοῖς ὑπτίοις τοῦ σώματος. ἡ τὸ κέλυφος ἀφέστηκε, καὶ θάλασσα εἰσέρχεται.



τερα λειτουργεῖ, πρός τε τὴν τοῦ θοροῦ ἄφεσιν, καὶ πρὸς τὴν τῆς ξηρᾶς περιττώσεως ἔξοδον. τούτου γάρ ἐστι δηλωτικὸν ἡ, ἐστὶ γὰρ ἡ τὸν θορὸν ἀφίησι διὰ τοῦ πόρου, ἐλλιπὴς δὲ ἐστὶ ἡ λέξις. εἴη δ' ἂν ἡ πλῆρες, καὶ ἡ εὐμαρὲς τῆς λέξεως, τοιοῦτον, διὰ τοῦ πόρου γὰρ δ' οὗ ἀφίησι τὸν θορὸν, διὰ τούτου ἔξεισι, καὶ περίττωμα. ταῦτα δὲ τὰ μόρια, ἤτοι οἱ πόροι, δ' ὧν ὁ θορὸς, καὶ ἡ περίττωσις ἐξέρχεται, ἐν τοῖς ὑπτίοις εἰσὶ τοῦ σώματος, ἡ λήγει ἡ ἐν τοῖς πρανέσι κέλυφος. ὥσπερ γὰρ οὐ συνάπτουσι αἱ δεξιαὶ τῶν ζωοτοκούντων πλευραὶ πρὸς τὰς ἀριστερὰς, ἀλλ' εἰσὶ διεστηκῆται ἀπ' ἀλλήλων, οὕτως οὐδὲ ἡ τῶν καρκίνων, καὶ καράβων κέλυφος, συνάπτει ἐν τοῖς ὑπτίοις.

Δ ιὸ ὁ συνδυασμὸς κατὰ ἔχει γίνεται τῷ ἄρρενι πρὸς τὴν θήλειαν. ἀναγκαῖον γὰρ ὅπερ ἀφίησιν ὁ ἄρρην εἴτε σπέρμα, εἴτε μόριον, εἴτε ἄλλην τινὰ δύναμιν, κατὰ ἡ ὑστερικὸν πόρον πλησιάζειν. ἡ δὲ τῆς πλεκτάνης τοῦ ἄρρενος διὰ τοῦ αὐλοῦ δίεσις ἐπὶ τῶν πολυπόδων ἥφασιν ὀχεύειν πλεκτάνη οἱ ἁλιεῖς, συμπλοκῆς χάριν ἐστίν. ἀλλ' οὐχὼς ὀργάνου χρησίμου πρὸς τὴν γένεσιν. ἔξω γάρ ἐστι τοῦ πόρου, καὶ τοῦ σώματος. ἐνίοτε δὲ συνδυάζονται καὶ ἐπὶ τὰ πρανῆ τὰ μαλάκια. πότερον δὲ γενέσεως χάριν, ἢ δ' ἄλλην αἰτίαν, οὐδὲν ὦπται αἴπω.

Λ έγει δὲ καὶ θάλατταν εἰσέρχεσθαι διὰ τῶν τοιούτων πόρων, ἐπεὶ δὲ κατὰ τὸν καιρὸν τοῦ συνδυασμοῦ ὁ πολύπους ὁ ἄρρην, ἐν τῷ αὐλῷ τοῦ θήλεως εἰσάνων τὴν ἑαυτοῦ πλεκτάνην, ἔδοξε τοῖς ἁλιεῦσι διὰ τῆς πλεκτάνης ποιεῖσθαι τὴν ὀχείαν, καὶ ταύτῃ χρήσθαι ἀντὶ αἰδοίου, ἐπήγαγεν. ἡ δὲ τῆς πλεκτάνης τοῦ ἄρρενος διὰ τῶν αὐλοῦ τῆς θηλείας δίεσις, καὶ εἰσέλευσις, οὐ χάριν ὀχείας γίνετε, ἀλλ' ἕνεκεν συμπλοκῆς. ἔξω γὰρ καὶ πόρρω οὖσα αὕτη ἡ πλεκτάνη τοῦ πόρου δ' οὗ ἐν ἀφίησι τὴν γονὴν πρὸς τὴν θήλειαν, πῶς ἂν εἴη ὄργανον χρήσιμον πρὸς τὴν γένεσιν; πόρον δὲ, καὶ σῶμα ἐκ παραλλήλου τέθεικαν. ὅτι δὲ αἱ ἀκρίδες, καὶ συνδυάζονται, καὶ ἐξακρίδων γίνονται, ὁμοίως δὲ καὶ τὰ λοιπὰ ἃ κατὰ λέγει, πολλάκις ὦπται.

Τ ῶν δὲ ἐντόμων, τὰ μὲν συνδυάζονται. καὶ ἡ γένεσις αὐτῶν ἐστιν ἐκ ζώων συνωνύμων καθάπερ ἐπὶ τῶν ἐναίμων οἷον αἵτε ἀκρίδες, καὶ οἱ τέττιγες. καὶ τὰ φαλάγγια, καὶ οἱ σφῆκες, καὶ οἱ μύρμηκες. τὰ δὲ συνδυάζεται μὲν, καὶ γεννῶσι, οὐ χόμογενῆ δ' αὐτοῖς, ἀλλὰ σκώληκες μόνον. οὐδὲ γίγνονται ἐκ ζώων, ἀλλ' ἐκ σηπομένων ὑγρῶν, τὰ δὲ ξηρῶν, οἷον αἵτε ψύλλαι, καὶ αἱ μῆαι, καὶ αἱ καν θαρίδες. τὰ δὲ, οὔτ' ἐκ ζώων γίνονται, οὔτε συνδυάζονται καθάπερ ἐμπίδες τε, καὶ σκώληκες, καὶ πολλὰ τοιαῦτα γένη. τῶν δὲ συνδυαζομένων, ἐν τοῖς πλείστοις τὰ θήλεα μείζω τῶν ἀρρένων ἐστί. πόρους δὲ τὰ ἄρρενα θορικοὺς οὐ φαίνεται ἔχοντα. ἀφίησι δὲ ὡς ἐπιτοπλεῖστον εἰπεῖν ἡ ἄρρεν ἐπὶ ἡ θῆλυ, οὐ-

Τῶν δὲ ἐντόμων φησὶ τὰ πλεῖστα, ἐναντίως ἔχουσι τοῖς ἄλλοις. οὐ γὰρ ἀφίησι ἡ ἄρρεν γονὴν ἐπὶ τούτων, εἰς ἡ θῆλυ, ἀλλ' ἔμπαλιν ἡ θῆλυ κάτωθεν ἄνω πρὸς ἡ ἄρρενα δ' αὐλοῦ. ἐν δὲ τῷ ἄρρενι συστὰν ἡ ἄνω. ἐναφεθὲν, πάλιν ὑποστρέφει πρὸς ἡ θῆλυ ἀφ' οὗ καὶ ἐξῆλθε διὰ τοῦ αὐλοῦ. οὐ γὰρ πρότερον ἀπολύονται, πρὶν ἂν πρὸς ἡ θῆλυ ὑποστρέψῃ, ἡ ἐξεληλυθὸς ἀπ' αὐτοῦ. τοῦτο οὖν ἡ θῆλυ, εἰς ἡ ἄρρεν διαφιέναι τὴν γονὴν, τεθεωρηκέναι φησὶν ἐπὶ πολλῶν. καὶ ἡ ἀναβαίνειν μᾶλλον ἡ θῆλυ εἰς ἡ ἄρρεν. ἀλλὰ περὶ μὲν τούτων, αὐ-

ἦς ἐρεῖ πρὸς τῷ τέλος γενόμενος τοῦ παρόντος βιβλίου, ἀκριβῶς ὅπως γίνονται. ἡμεῖς δὲ ὅπου ἐλέγομεν ταῦτα μὲν ἐπὶ πολλῶν ἐθεάσθη. ὥστε δὲ γένει διελεῖν, καὶ εἰπεῖν ὡρισμένως, ὅτι τουτί μὲν τὸ γένος ποιεῖ ταῦτα, τουτί δὲ οὐ ποιεῖ, οὔπω συνεώρατται.

δὲν μόριον, ἀλλὰ τὸ θῆλυ ἐπὶ τὸ ἄῤῥεν κάτωθεν ἄνω. τεθεώρηται δὲ τοῦτο ἐπὶ πολλῶν, καὶ περὶ τοῦ ἀναβαίνειν ὡσαύτως. τοὐναντίον δ' ἐπ' ὀλίγων. ὥς τε καὶ γένει διελεῖν οὔπω συνεώρατται.

Τ ὁ δὲ σχεδὸν δὲ τοῦτο, καὶ ἐπὶ τῶν ὠοτόκων ἰχθύων τῶν πλείστων ἐστὶ, καὶ ἐπὶ τῶν τετραπόδων, καὶ ὠοτόκων, συνεχές ἐστι, τῷ, τῶν δὲ συνδυαζομένων ἐν τοῖς πλείστοις τὰ θηλέα μείζω τῶν ἀῤῥένων ἐστί. τὸ δὲ τοῖς δὲ θήλεσι τὸ ταῖς ὑστέραις αὐτῶν ἀνάλογον μόριον, καὶ τὰ ἑξῆς, περὶ τῶν ἀναίμων εἴρηται, καὶ συμπεραίνεται λοιπὸν τὸν λόγον,

Σ χεδὸν δὲ τοῦτο καὶ ἐπὶ τῶν ὠοτόκων ἰχθύων τῶν πλείστων ἐστὶ, καὶ ἐπὶ τῶν τετραπόδων, καὶ ὠοτόκων. τὰ γὰρ θήλεα μείζω τῶν ἀῤῥένων ἐστὶ, διὰ τὸ συμφέρον πρὸς τὸν γινόμενον αὐτοῖς ὑπὸ τῶν ὠῶν ὄγκον ἐν τῇ κυήσει. τοῖς δὲ θήλεσιν αὐτῶν τὸ ταῖς ὑστέραις ἀνάλογον μόριον, ἐσχισμένον ἐστὶ περὶ τὸ ἔντερον, ὥσπερ καὶ τοῖς ἄλλοις. ἐν ᾧ ἐγγίγνεται τὰ κυήματα. δῆλον δὲ τοῦτο ἐπί τε τῶν ἀκρίδων, καὶ ὅσα μέγεθος αὐτῶν ἔχει, συνδυάζεσθαι πεφυκότων, τὰ γὰρ πλεῖστα, μικρὰ λίαν ἐστὶ τῶν ἐντόμων.

Ε' φεξῆς, δὲ τούτου λέγει πρῶτον περὶ γονῆς, καὶ ἀπαγγέλει ταῦτα λίαν σαφῶς. ἐν δὲ τῇ λέξει τῇ, διὸ τοῦ αὐτοῦ λόγου, πότερον τὸ ἄῤῥεν, καὶ τὸ θῆλυ προΐεται ἄμφω, ἢ θάτερον μόνον, ὑποστικτέον εἰς τὸ μόνον, εἶτα ἐπακτέον τὸ, καὶ πότερον ἀπὸ παντὸς ἀπέρχεται, καὶ τὰ ἑξῆς. εἴη δ' ἂν τὸ λεγόμενον τοιοῦτον. ὁ λόγος ὁ ζητῶν, πότερον τὸ θῆλυ, καὶ τὸ ἄῤῥεν προΐεται ἄμφω, ἢ θάτερον μόνον, ὁ αὐτὸς μέλλει ζητῆσαι, καὶ πότερον ἀπὸ παντὸς ἀπέρχεται τοῦ σώματος, ἢ οὐκ ἀπὸ παντὸς. ἡ γὰρ θατέρου τούτοιν τοῖν προβλημάτοιν εὕρεσις, καὶ τῆς θατέρου γνώμης αἰτία γενήσεται. Εἴτι φησὶ ὥσπερ τοῦ ὅλου ζώου ἐστὶ τί μόριον, ἐξ οὗ μορίου πρώτου γίνετο σπέρμα, εἴτε ἡ καρδία τοῦτο ἐστὶ τὸ μόριον, εἴτε ὁ ἐγκέφαλος, ἔτι γὰρ ἄδηλον ἐστί. Δῆ-

Τ ὰ μὲν οὖν περὶ τὴν γένεσιν ὄργανα τοῖς ζώοις περὶ ὧν οὐκ ἐλέχθη πρότερον, τοῦτον ἔχει τὸν τρόπον. τῶν δὲ ὁμοιομερῶν ἀπελείφθη, περὶ γονῆς, καὶ γάλακτος, περὶ ὧν καιρός ἐστιν εἰπεῖν. περὶ μὲν γονῆς ἤδη, περὶ δὲ γάλακτος ἐν τοῖς ἐχομένοις. Τὰ μὲν γὰρ προΐεται φανερῶς τῶν ζώων, οἷον ὅσα αὐτῶν ἔναιμα τὴν φύσιν ἐστί. τὰ δὲ ἔντομα, καὶ μαλακία, ποτέρως ἄδηλον. ὥς τε τοῦτο θεορητέον, πότερον πάντα προΐεται σπέρμα τὰ ἄῤῥενα, ἢ οὐ πάντα. καὶ εἰ μὴ πάντα, διὰ τίνα αἰτίαν. τὰ μὲν, τὰ δ' οὔ. καὶ τὰ θήλεα δὲ πότερον συμβάλλεται σπέρμά, τι. ἢ οὔ. καὶ εἰ μὴ σπέρμα, πότερον οὐδ' ἄλλο οὐθέν. ἢ συμβάλλεται μέν τι, οὐ σπέρμα δέ. ἔτι δὲ καὶ τὰ προϊέμενα σπέρμά, τι, συμβάλλεται διὰ τοῦ σπέρματος πρὸς τὴν γένεσιν. σκεπτέον, καὶ ὅλως τίς ἐστιν ἡ τοῦ σπέρματος φύσις, καὶ ἡ τῶν καλουμένων καταμηνίων, ὅσα ταύτην τὴν ὑγρότητα προΐεται τῶν ζώων. δοκεῖ δὲ πάντα γίνεσθαι ἐκ σπέρματος. τὸ δὲ σπέρμα, ἐκ τῶν γεννώντων.

διὸ, τοῦ



διὸ, τοῦ αὐτοῦ λόγου ἐστί. πότερον τὸ ἄῤῥεν καὶ τὸ θῆλυ προΐεται ἄμφω, ἢ θάτερον μόνον. καὶ πότερον ἀπὸ παντὸς ἀπέρχεται τοῦ σώματος, ἢ οὐκ ἀπὸ παντός. εὔλογον γὰρ εἰ μὴ ἀπὸ παντὸς, μὴ δ' ἀμφοτέρων τῶν γεννώντων. διόπερ καὶ ἐπισκεπτέον, ἐπειδὴ φασί τινες ἀπὸ παντὸς ἀπιέναι τοῦ σώματος, περὶ τούτου πῶς ἔχει πρῶτον. Ἔστι δὲ σχεδὸν οἷς ἄν τις χρήσαιτο τεκμηρίοις, ὡς ἀφ' ἑκάστου τῶν μορίων ἀπιόντος τοῦ σπέρματος, τέτταρα. πρῶτον μὲν ἡ σφοδρότης τῆς ἡδονῆς. μᾶλλον γὰρ ἡδὺ ταυτὸ πλέον γινόμενον πάθος. πλέον δὲ τὸ πᾶσι τοῖς μορίοις, ἢ τὸ ἐνὶ, ἢ ὀλίγον συμβαῖνον αὐτῶν. Ἔτι τὸ ἐκκολοβῶν κολοβὰ γίνεσθαι. διὰ μὲν γὰρ τὸ τοῦ μορίου ἐν δεὲς εἶναι, οὐ βαδίζειν σπέρμα ἐν τεῦθέν φασιν. ὅθεν δ' ἂν μὴ ἔλθῃ τοῦτο συμβαίνειν μὴ γίνεσθαι. πρὸς δὲ τούτοις, αἱ ὁμοιότητες πρὸς τοὺς γεννήσαντας. γίνονται γὰρ ἐοικότες ὥσπερ καὶ τὸ ὅλον σῶμα, καὶ τὰ μόρια μορίοις. εἴπερ οὖν καὶ τοῦ ὅλου αἴτιον τῆς ὁμοιότητος τὸ ἀφ' οὗ ἦλθε τὸ σπέρμα, καὶ τοῖς μορίοις ἂν αἴτιον εἴη τὸ ἀφ' ἑκάστου τι τῶν μορίων ἐλθεῖν. ἔτι δὲ καὶ εὔλογος εἶναι δόξειεν, ὥσπερ καὶ τοῦ ὅλου ἐστὶ τί ἐξ οὗ γίνεται τὸ πρῶτον, οὕτω καὶ τῶν μορίων ἑκάστου εἴη ἄντι σπέρμα ἴδιον. πιθανὰ δὲ καὶ τὰ τοιαῦτα μαρτύρια ταύταις ταῖς δόξαις. οὐ γὰρ μόνον τὰ σύμφυτα προσεοικότες τοῖς γονεῦσι γίνονται οἱ παῖδες, ἀλλὰ καὶ τὰ ἐπίκτητα. οὐλάς τε γὰρ ἐχόντων τῶν γεννησάντων ἤδη τινὲς ἔσχον ἐν τοῖς αὐτοῖς τόποις τῶν ἐκγόνων, τὸν τύπον τῆς οὐλῆς. καὶ στίγμα ἔχοντος ἐν τῷ βραχίονι τοῦ πατρὸς, ἐπεσήμηνεν ἐν χαλκηδόνι τῷ τέκνῳ. συγκεχυμένον μέντοι, καὶ οὐ διηρθρομένον τὸ γράμμα. ὅτι μὲν οὖν ἀπὸ παντὸς ἔρχεται τὸ σπέρμα, σχεδὸν ἐκ τούτων μάλιστα πιστεύουσι τινές. φαίνεται δ' ἐξετάζουσι τὸν λόγον, τοὐναντίον μᾶλλον. τὰ τέτταρα δὲ τὰ εἰρημένα λύειν οὐ χαλεπόν. καὶ πρὸς τούτοις ἄλλα συμβαίνει λέγειν ἀδύνατα.

λον δὲ γενήσεται προϊοῦσιν. ὥσπερ οὖν ἐστι ἐκτούτου τοῦ μορίου σπέρμα, οὕτω ἂν εἴη, καὶ ἐξ ἑκάστου τῶν ἄλλων. στίγμα δὲ λέγει ἐν τῷ βραχίονι, ἅπερ διὰ μέλανος, καὶ τῆς ὑπὸ τῶν βελονῶν κεντήσεως ποιοῦσιν οἱ ναῦται, καὶ ἄλλοι πολλοί. εἶναι δὲ φησὶ χαλκηδόνιον τὸν ἔχοντα τὸ στίγμα.

Γ ῥᾷστον μὲν οὖν ὅτι οὐδὲν σημεῖον ἡ ὁμοιότης, οὐ ἀπιέναι ἀπὸ παντός, ὅτι καὶ φωνήν, καὶ ὄνυχας, καὶ τρίχας ὅμοιοι γίγνονται, καὶ τὴν κίνησιν, ἀφ' ὧν οὐδὲν ἀπέρχεται. ἔνια δὲ οὐκ ἔχουσί πω ὅταν γεννῶσιν, οἷον τρίχωσιν πολιῶν, ἢ γένειον. ἔτι τοῖς ἄνωθεν γονεῦσιν ἐοίκασιν, ἀφ' ὧν οὐδὲν ἀπῆλθεν. ἀποδιδόασι γὰρ διὰ πολλῶν γενεῶν αἱ ὁμοιότητες, οἷον καὶ ἐν Ἤλιδι, ἡ τῷ αἰθίοπι συγγενομένη, οὐ γὰρ ἡ θυγάτηρ ἐγένετο, ἀλλ' ὁ ἐκ ταύτης αἰθίοψ. καὶ ἐπὶ τῶν φυτῶν δὲ ὁ αὐτὸς λόγος. δῆλον γὰρ ὅτι, καὶ τούτοις, ἀπὸ πάντων ἂν τῶν μερῶν, τὸ σπέρμα γίγνοιτο. πολλὰ δὲ τὰ μέν, οὐκ ἔχει, τὰ δέ, ἀφέλοι τις ἄν. τὰ δέ, προσφύεται, ἔτι οὐδ' ἀπὸ τῶν περικαρπίων ἀπέρχεται. καίτοι καὶ ταῦτα γίνεται τὴν αὐτὴν ἔχοντα μορφήν.

Θ εἰς πάνυ σαφῶς τὰ ἐπιχειρήματα τέτταρα ὄντα τὸν ἀριθμόν, δι' ὧν ἐδόκουν κατασκευάζειν οἱ τῆς δόξης ταύτης προϊστάμενοι, ὅτι ἀπὸ παντὸς τοῦ σώματος ἀπέρχεται ἡ γονή, ὧν οὐ ἦν. ὅτι δὲ μὴ ἀπὸ παντὸς τοῦ σώματος διέρχεται, οὐκ ἂν εἴησαν ὅμοιοι τοῖς πατράσιν οἱ παῖδες, διὸ οὓς ἐνίστατε πρὸς ἐκεῖνον λέγων. ἐπεὶ γίνεται ἡ ὁμοιότης οὐ μόνον κατὰ τὸ πρόσωπον, καὶ τὰς χεῖρας, καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ κατὰ τὴν φωνήν, καὶ τὰς τρίχας, καὶ τὴν βάδισιν (πολλοὶ γὰρ τῶν παίδων ἀπαραλλάκτως βαδίζουσιν ὥσπερ οἱ γονεῖς). ἐπεὶ οὖν γίνεται, καὶ κατὰ τὰς τρίχας, καὶ τοὺς ὄνυχας, καὶ τὴν φωνὴν ὁμοιότης, ἀφ' ὧν τριχῶν, καὶ φωνῶν, καὶ ὀνύχων, καὶ βαδίσεων, οὐδὲν ἔξεστιν ὅλως σπέρμα, γενήσεται καὶ κατὰ τὰ λοιπὰ μόρια ὁμοιότης, καὶ γονῆς μὴ διελθούσης ἀπ' αὐτῶν, καὶ ἐπὶ τῶν φυτῶν δὲ ὁ αὐτὸς λόγος. δῆλον γὰρ ὅτι, καὶ τούτοις ἀπὸ πάντων ἂν τῶν μερῶν ἀπῆλθε. ἐὰν γὰρ αἱ ὁμοιότητες τῶν παίδων πρὸς τοὺς γονεῖς γίνονται, διὰ τὸ ἀπὸ πάντων τῶν μερῶν αὐτῶν ἀπέρχεσθαι τὸ σπέρμα, καὶ ἐπὶ τῶν φυτῶν τοῦτ' ἂν γίνοιτο. (γεννῶσι γὰρ καὶ αὐτά) οὐ γίνεται δέ. καὶ θεωρητέον ὅπως τοῦτ' ἐπὶ τούτων οὐ γίνεται. τέμνει τις κλάδον ἀπὸ τῆσδε τῆς ἐν ἀθήναις οὔσης καρύας, καὶ φυτεύσας αὐτὸν ἐν πάτραις, μετὰ δύο, ἢ τρεῖς χρόνους, γεννᾷ κάρυα, πάντη πάντως, καὶ τῷ μεγέθει, καὶ τῇ γεύσει, καὶ τῇ χροιᾷ, καὶ τοῖς ἄλλοις ἅπασιν, ὅμοια ὄντα τοῖς γεγονόσι καρύοις ἀπὸ τῆς ἐν ἀθήναις καρύας, ἀφ' ἧς ὁ κλάδος ἐτμήθη, εἰ οὖν τὰ ἀπὸ τῆς ἐν ἀθήναις οὔσης καρύας κάρυα, ἀφ' ἧς ὁ κλάδος ἀφῃρέθη, καὶ ἐν πάτραις πεφύτευται. εἰ δὴ τὰ ἀπὸ τῆς ἐν ἀθήναις καρύας κάρυα ὅμοιά εἰσιν ἀλλήλοις, διὰ τὸ ἀπὸ πάντων τῶν τῆς καρύας μερῶν ἀπέρχεσθαι πρὸς ἅπαντα τὰ κάρυα σπέρμα, εἰσὶ δὲ καὶ τὰ ἀπὸ τοῦ ἐν πάτραις κλάδου μεταφυτευθέντος, γεγονότα, ὅμοια τοῖς ἀπὸ τῆς ἐν ἀθήναις καρύας καρύοις. δῆλον κατὰ τοὺς τούτων λόγους, ὅτι ἀπὸ πάντων τῶν μερῶν τῆς καρύας σπέρμα ἀπῄει, καὶ πρὸς τὰ ἐν τῷ κλάδῳ κάρυα, καὶ διὰ τοῦτο γεγόνασιν ὅμοια τὰ ἐν τῷ κλάδῳ κάρυα, τοῖς ἐν τῇ καρύᾳ καρύοις, ὅπερ ἐστὶ καταγέλαστον. πῶς γὰρ ἂν ἀπὸ ἀθηνῶν εἰς πάτρας ἀπῆλθε τὸ σπέρμα; καὶ ἄλλως. ἐπειδὴ ὅμοιά εἰσι τὰ τοῦ κλάδου, καὶ τῆς καρύας κάρυα, ἀνάγκη κατὰ τοὺς ἐκείνων λόγους, ἐκ τοσούτων τῷ ἀριθμῷ μερῶν ἀπῄει σπέρμα, πρὸς τὰ ἐν τῇ καρύᾳ κάρυα, ἐκ τοσούτων τῶν ἀριθμῶν ἀπιέναι, καὶ πρὸς τὰ ἐν τῷ κλάδῳ κάρυα. εἰ γὰρ μὴ ἐκ τοσούτων, ἀνόμοια ἂν εἴησαν, καὶ κολοβά, ἀλλὰ μὴν τὰ τῆς καρύας μόρια, πάνυ εἰσὶ πολλαπλάσια τῶν τοῦ κλάδου μερῶν. εἰ δὴ ἐπὶ τῶν φυτῶν αἱ ὁμοιότητες γίνονται, οὐ διὰ τὸ ἀπὸ πάντων (ὡς δέδεικται) τῶν μερῶν ἀπέρχεσθαι σπέρμα, ἀλλὰ δι' ἄλλο τι, ὅπερ αὐτὸς τί ποτέ ἐστι προϊὼν ἐρεῖ, καὶ ἐπὶ τῶν ζώων ὁμοίως ἕξει. ἐν δὲ τῇ λέξει τῇ, πολλὰ δὲ τὰ μὲν οὐκ ἔχει, τὰ δ' ἀφέλοι τις ἄν, λείπει τὰ μέρη. πολλὰ γὰρ τῶν φυτῶν οὐκ ἔχει μέρη ὥσπερ εἴπομεν ἐπὶ τοῦ κλάδου, ὅσα ἔχει ἡ καρύα, ἀλλὰ καὶ ἀπὸ τῆς καρύας ἀφαιρεθέντος τοῦ κλάδου, τὰ γεγονότα μετὰ τὴν ἀφαίρεσιν αὐτοῦ ὅμοιά εἰσι τοῖς γεγονόσι, καὶ πρὸ τῆς ἀφαιρέσεως. ἀλλὰ καὶ ἐν τῇ γῇ, εἴ τις καταχώσειε κάρυον. καὶ βλαστῆσαν γεννήσει ἡ βλάστη κάρυα, ὅμοια γίνεται τῷ καταχωσθέντι ἐν τῇ γῇ, οὐ μόνον κατὰ τὸν καρπόν, ἀλλὰ καὶ κατὰ τὸ περικάρπιον, ἀφ' οὗ περικαρπίου, ἐπειδὴ ὅλως οὐδὲν ἄπεισιν διὰ τὸ μετὰ τοῦ περικαρπίου φυτεύεσθαι.

Ἔτι δὲ



Ἔ τι δὲ πότερον ἀπὸ τῶν ὁμοιομερῶν μόνον ἀπέρχεται ἀφ' ἑκάστου, οἷον ἀπὸ σαρκός, καὶ ὀστοῦ, καὶ νεύρου. ἢ καὶ ἀπὸ τῶν ἀνομοιομερῶν, οἷον προσώπου καὶ χειρός. εἰ μὲν γὰρ ἀπ' ἐκείνων μόνων, ἐοίκασι δὲ κατὰ ταῦτα μᾶλλον τοῖς γονεῦσι. τὰ ἀνομοιομερῆ, οἷον πρόσωπα, καὶ χεῖρας, καὶ πόδας. εἴπερ οὖν μηδὲ ταῦτα τῷ ἀπὸ παντὸς ἀπελθεῖν, τί κωλύει μηδ' ἐκεῖνα τῷ ἀπὸ παντὸς ἀπελθεῖν ὅμοια εἶναι, ἀλλὰ δι' ἄλλην αἰτίαν. εἰ δ' ἀπὸ τῶν ἀνομοιομερῶν μόνων, οὐκ ἂν ἀπὸ πάντων. προσήκει δὲ μᾶλλον ἀπ' ἐκείνων. πρότερα γὰρ ἐκεῖνα, καὶ σύγκειται τὰ ἀνομοιομερῆ ἐξ ἐκείνων, καὶ ὥσπερ πρόσωπα, καὶ χεῖρας γίγνονται ἐοικότα, οὕτω καὶ σάρκας, καὶ ὄνυχας. εἰ δ' ἀπ' ἀμφοτέρων, τίς ὁ τρόπος ἂν εἴη τῆς γενέσεως; σύγκειται γὰρ ἐκ τῶν ὁμοιομερῶν τὰ ἀνομοιομερῆ. ὥστε τὸ ἀπὸ τούτων ἀπιέναι, τὸ ἀπ' ἐκείνων ἂν εἴη ἀπιέναι, καὶ τῆς συνθέσεως, ὥσπερ κἂν εἰ ἀπὸ τοῦ γεγραμμένου ὀνόματος, εἰ μὲν ἀπὸ παντός, κἂν ἀπὸ τῶν συλλαβῶν ἑκάστης. εἰ δ' ἀπὸ τούτων, ἀπὸ τῶν στοιχείων καὶ τῆς συνθέσεως. ὥστε εἴπερ ἐκ πυρός, καὶ τῶν τοιούτων, σάρκες καὶ ὀστᾶ συνεστᾶσιν, ἀπὸ τῶν στοιχείων ἂν εἴη μᾶλλον. ἀπὸ γὰρ τῆς συνθέσεως, πῶς ἐνδέχεται; ἀλλὰ μὴν ἄνευ γε ταύτης, οὐκ ἂν εἴη ὅμοια, ταύτην δ' εἴ τι δημιουργεῖ ὕστερον, τοῦτ' ἂν εἴη τῆς ὁμοιότητος αἴτιον, ἀλλ' οὐ τὸ ἀπελθεῖν ἀπὸ παντός.

Ἐκ διαιρέσεως ἐπάγει τὸν ἔλεγχον τοῖς ἀπὸ παντὸς λέγουσι τοῦ σώματος διέρχεσθαι τὸ σπέρμα. ἐρωτᾷ οὖν, πότερον ἀπὸ τῶν ὁμοιομερῶν μόνων, οἷον σαρκός, καὶ ὀστοῦ, καὶ νεύρων, καὶ τῶν τοιούτων ἀπέρχεται τὸ σπέρμα. ἐκ δὲ τῶν ἀνομοιομερῶν οἷον προσώπου, χειρός, καὶ τῶν ἄλλων οὐδαμῶς, ἢ ἐκ τούτων μέν, ἐκ δὲ τῶν ὁμοιομερῶν, οὐδὲν ὅλως. ἢ καὶ ἐκ τούτων, καὶ ἐξ ἐκείνων. εἰ μὲν οὖν ἀπ' ἐκείνων μόνων ἤτοι τῶν ὁμοιομερῶν ἀπέρχεται τὸ σπέρμα, ἐοίκασιν δὲ μᾶλλον οἱ παῖδες τοῖς γονεῦσι κατὰ τὰ ἀνομοιομερῆ, οὐ γὰρ δὴ κατὰ τὴν σάρκα, καὶ ὅλως κατὰ τὰ ὁμοιομερῆ ἡ ὁμοιότης γίνεται, ἀλλὰ κατὰ τὸ πρόσωπον, καὶ τὰς χεῖρας, καὶ πάντα τὰ ἀνομοιομερῆ. εἴπερ οὖν τὰ ἀνομοιομερῆ ὅμοιά εἰσι, μὴ διὰ τὸ ἀπιέναι ἀπ' αὐτῶν σπέρμα, (ὑπόκειται γὰρ μὴ ἀπέρχεσθαι ἀπ' αὐτῶν) τί κωλύει, καὶ τὰ ὁμοιομερῆ ὅμοια εἶναι, μηδενὸς ἀπελθόντος ἀπ' αὐτῶν; εἶεν δὲ ὅμοια, δι' ἄλλην αἰτίαν τινά. εἰ δὲ φασίν, ὅτι ἀπὸ τῶν ἀνομοιομερῶν μόνον διέρχεται τὸ σπέρμα, πρῶτον μὲν ψεῦδος τὸ λέγειν ὅτι ἀπὸ πάντων τῶν μερῶν ἀπέρχεται. (ὑπόκειται γὰρ ἀπὸ τῶν ὁμοιομερῶν μὴ ἀπέρχεσθαι.) ἔπειτα, ἐπειδὴ τὰ ἀνομοιομερῆ ὕστερά εἰσι τῶν ὁμοιομερῶν, (σύνθεσις γὰρ ὁμοιομερῶν, τὰ ἀνομοιομερῆ). ἐπεὶ οὖν ὕστερά εἰσι, εἰ μὴ ἀπὸ τῶν ὁμοιομερῶν ἀπέρχεταί τι, οὐδὲ ἀπὸ τῶν ἀνομοιομερῶν ἀπέλθοι. εἰ γὰρ μήτε ἐκ τοῦ οἴνου ἀπέλθοι τι, μήτε ἐκ τοῦ μέλιτος, δῆλον ὡς οὐδὲ ἐκ τοῦ συνθέτου οἰνομέλιτος. εἰ οὖν λέγουσιν, ὅτι καὶ ἀπὸ τῶν ὁμοιομερῶν, καὶ ἀπὸ τῶν ἀνομοιομερῶν ἀπέρχεται σπέρμα, ἐπιποθοῦσιν ἡμῖν τὸν τῆς γενέσεως τρόπον. πῶς ἐστι δυνατὸν γίνεσθαι, ἄλλο μὲν ἀπὸ τῶν ὁμοιομερῶν σπέρμα, ἄλλο δ' ἀπὸ τῶν ἀνομοιομερῶν; εἴπερ τὰ ἀνομοιομερῆ οὐδὲν ἄλλο ἐστίν, ἢ σύνθεσις τῶν ὁμοιομερῶν. ἡ δὲ σύνθεσις, θέσις τίς, καὶ πάθος, ἐκ δὲ τοῦ πάθους, καὶ τῆς θέσεως, πῶς ἂν ἀπέλθοι σπέρμα; τὸ δὴ λέγειν, ὅτι ἀπὸ τῶν ἀνομοιομερῶν ἀπέρχεται σπέρμα, ταὐτόν ἐστι τῷ λέγειν, ὅτι ἐκ τῶν ὁμοιομερῶν. ὥσπερ κἂν εἰ ἀπὸ τοῦ γεγραμμένου ὀνόματος, (ἀναλογεῖ γὰρ τοῦτο τοῖς ἀνομοιομερέσιν.) ὥσπερ οὖν ἐπὶ τούτων εἰ ἀπὸ παντὸς ἀπέρχεταί τι τοῦ σωκράτους ὀνόματος, δῆλον ὅτι καὶ ἀπὸ τῆς σω συλλαβῆς, καὶ τῆς κρα καὶ τῆς της. Εἰ δ' ἀπὸ τῶν συλλαβῶν, δῆλον ὡς πολὺ πρότερον, καὶ ἀπὸ τῶν στοιχείων τοῦ σ, καὶ ω, καὶ τῶν λοιπῶν. οὕτως, εἰ ἀπὸ τῶν ἀνομοιομερῶν, πρότερον ἀπὸ τῶν ὁμοιομερῶν. εἰ δὲ ἐκ τούτων, πολὺ πρότερον ἀπὸ τῶν στοιχείων, πυρός, καὶ γῆς, καὶ τῶν λοιπῶν. (ἀπὸ γὰρ τούτων σάρκες, καὶ τὰ νεῦρα συνεστήκασι, καὶ τὰ λοιπὰ ὁμοιομερῆ). πολὺ οὖν πρότερον ἐχρῆν ἀπὸ τῶν στοιχείων ἀπέρχεσθαι σπέρμα. ἀπὸ γὰρ τῆς συνθέσεως, τουτέστι ἀπὸ τῶν ὁμοιομερῶν, ἢ τῶν ἀνομοιομερῶν, πῶς ἐνδέ-

χεται; ὅπερ ἐστὶ ἴσον τῷ οὐκ ἐν δέχεται. δέδεικται γὰρ ὅτι, οὔτε ἀπὸ τῶν ὁμοιομερῶν, οὔτε ἀπὸ τῶν ἀνομοιομερῶν, δύναται σπέρμα ἀπιέναι. ἴσμεν δὲ καὶ ὅτι ἄνευ τῆς συνθέσεως, ἢ τῶν ἀνομοιομερῶν, γενέσθαι ὁμοιότητα, οὐ δυνατόν. εἰ δὴ χωρὶς τῆς συνθέσεως, ἢ τῶν ἀνομοιομερῶν οὐκ ἐν δέχεται ὁμοιότητα γενέσθαι, ἐκ δὲ τούτων δέδεικται ὅτι οὐδὲν ἀπέρχεται, ψεῦδος τὸ λέγειν ὅτι ἡ ὁμοιότης γίνεται, διὰ τὸ ἀπὸ πανὸς τοῦ σώματος ἀπέρχεσθαί τι. ἀλλ' εἴπερ ἐστὶ τί τὸ δημιουργοῦν τὴν σύνθεσιν, καὶ φύσιν τῶν ἀνομοιομερῶν, ἐκεῖνο ἂν εἴη, καὶ τὸ τῆς ὁμοιότητος αἴτιον.

Πρὸ τῆς τῶν λεγομένων σαφηνείας, ἄξιον ἐστὶ ἡμᾶς ὑπομνησθῆναι τῆς δόξης τῶν λεγόντων ἀπὸ πανὸς τοῦ σώματος, οὐ μόνον τοῦ ἄῤῥενος ἀλλὰ, καὶ τοῦ θηλέος, ἀπέρχεσθαι τὸ σπέρμα. καί τινα ἔλεγον εἶναι τὴν τοῦ σπέρματος φύσιν. οὕτω γὰρ ἂν σαφὴς ἡμῖν ἔσται ἡ τῶν λεγομένων διάνοια. ὁ πλάτων ἀπὸ πανὸς τοῦ σώματος τοῦτε ἄῤῥενος, καὶ τοῦ θήλεος λέγων ἀπέρχεσθαι τὸ σπέρμα, οὐ τοιοῦτόν τι σπέρμα ἀπέρχεσθαι ἔφασκεν, ὁποῖον ἅπαντες ἴσμεν, ἀλλ' ὅτι μὲν ἀπὸ τῆς τοῦ παιδὸς κεφαλῆς, ἔξεισι πάνυ σμικροτάτη κεφαλὴ, καὶ ἀναίσθητος διὰ σμικρότητα, ὁμοίως καὶ ἀπὸ τῶν χειρῶν χεῖρες, καὶ ἀπὸ τῶν ποδῶν πόδες, καὶ τοῦ ἥπατος ἧπαρ, καὶ τῶν ἄλλων ὁμοίως, παραπλήσιον δὲ καὶ ἀπὸ τῆς μηδὸς. ἐν δὲ τῇ ὑστέρᾳ αὔξησίν τε, καὶ σύνθεσιν λαβόντα οὕτω ἐξέρχετο θύραζε. τοῦτό τε ἔλεγεν, καὶ ὅτι τὸ συνάθροισμα τῶν τοιούτων μερῶν, οὐ καθ' αὑτὸ ἐξέρχετο, ἀλλὰ μετά τινος ὑγρασίας, περιεχούσης αὐτὰ τὰ μέρη, ὥσπερ ὁ ἀμφορεὺς τὸν οἶνον, καὶ κυρίως μὲν φασὶ σπέρμα καὶ εἰσὶ καὶ λέγονται, τὰ εἰρημένα μόρια. διὰ δὲ ταῦτα, λέγετο, καὶ ἡ περιέχουσα αὐτὰ ὑγρότης, σπέρμα, ὥσπερ πολλάκις, καὶ ὁ ἀμφορεὺς, οἶνος, διὰ τὸν περιεχόμενον ὑπ' αὐτοῦ οἶνον. τούτων οὕτω ὑπομνησθέντων ἐπὶ τῶν τῶν λεγομένων σαφήνειαν ὁρμητέον. δείξας ὅτι ἀδύνατόν ἐστι διὰ τὸ ὁμοιότητα λέγειν ἀπὸ πανὸς ἀπέρχεσθαι τοῦ σώματος σπέρμα, νῦν εὐθυνεῖ, καὶ καθ' αὑτὸ τὸ δόγμα, ἐκ-

Ἔτι εἰ μὲν διεσπασμένα τὰ μέρη ἐν τῷ σπέρματι πῶς ζῇ; εἰ δὲ συνεχῆ, ζῶον ἂν εἴη μικρὸν, καὶ τὰ τῶν αἰδοίων πῶς; οὐ γὰρ ὅμοιον τὸ ἀπιὸν ἀπὸ τοῦ ἄῤῥενος, καὶ τοῦ θήλεος. ἔτι εἰ ἀμφοτέρων ὁμοίως ἀπὸ πάντων ἔρχεται, δύο ἐγίγνετο ζῶα. ἑκάτερον γὰρ ἅπαντα ἐξεῖ. διὸ καὶ ἐμπεδοκλῆς ἔοικεν (εἴπερ οὕτω λεκτέον) μάλιστα λέγειν ὁμολογούμενα τούτω τῷ λόγῳ, τόγε τοσοῦτον, ἀλλ' εἴπερ ἑτεράπη, οὐ καλῶς. φησὶ γὰρ ἐν τῷ ἄῤῥενι, καὶ ἐν τῷ θήλει οἷον σύμβολον εἶναι, ὅλον δ' ἀπ' οὐδετέρου ἀπιέναι. ἀλλὰ διέσπασται μελέων φύσις ἡμὲν ἐν ἀνδρός. διάτι γὰρ ἂν τὰ θήλεα οὐκ ἐγέννα ἐξ αὐτῶν, εἴπερ ἀπὸ παντός τε ἀπέρχεται, καὶ ἔχει ὑποδοχήν; ἀλλ' ὡς ἔοικεν, ἢ οὐκ ἀπέρχεται ἀπὸ πανὸς, ἢ οὕτως (ὥσπερ ἐκεῖνος λέγει) οὐ ταυτὰ ἀφ' ἑκατέρου. διὸ καὶ δέονται τῆς ἀλλήλων συνουσίας. ἀλλὰ καὶ τοῦτ' ἀδύνατον, ὥσπερ γὰρ καὶ μεγάλα ὄντ' ἀδύνατον διεσπασμένα σώζεσθαι, καὶ ἔμψυχα εἶναι καθάπερ. Ἐμπεδοκλῆς γεννᾶ ἐπὶ τῆς φιλότητος λέγων.

Ἡ μὲν οὖν πολλαὶ κόρσαι ἀναύχενες ἐβλάστησαν.

Εἶθ' οὕτως συμφύεσθαί φησι, ὅτι δὲ φανερὸν ὅτι ἀδύνατον, οὔτε γὰρ μὴ ψυχὴν ἔχοντα, οὔτε μὴ ζωὴν τινὰ δύναι τ' ἂν σώζεσθαι, οὔτε ὥσπερ ζῶα ὄντα πλείω συμφύεσθαι, ὥστε εἶναι πάλιν ἕν. ἀλλὰ μὴν οὗτον τὸν τρόπον συμβαίνει, λέγειν τοῖς ἀπὸ πανὸς ἀπιέναι φάσκουσιν, ὥσπερ τότε ἐν τῇ γῇ ἐπὶ τοῖς φιλότητος, οὕτω τούτοις ἐν τῷ σώματι. ἀδύνατον γὰρ συνεχῆ τὰ μόρια γίγνεσθαι, καὶ ἀπιέναι εἰς ἕνα τόπον συνίοντα. εἶτα πῶς καὶ διέσπαται τὰ ἄνω, καὶ κάτω, καὶ δεξιὰ, καὶ ἀριστερὰ, καὶ πρόσθια, καὶ ὀπίσθια. πάντα γὰρ ταῦτα ἄλλογά ἐστιν.

διαιρέσεως



διαιρέσεως δὲ κἀνταῦθα τὸν ἔλεγχον ἐπάγει. διὰ δὲ τὸ μὴ εἶναι τὴν διαίρεσιν, ἀλλὰ πρὸς ἕκαστον τῶν τμημάτων αὐτῆς ἐπάγειν τὸν ἔλεγχον, ἀσάφειαν πάνυ πολλὴν πεποίηκεν, εἴη δ' ἂν ἡ διαίρεσις τοιαύτη. πότερον ἡ ἐξερχομένη ὑγρασία καὶ σπέρμα λεγομένη, περιέχουσά τε ἐν ἑαυτῇ ὥσπερ ἀγγεῖον τὴν κεφαλὴν πάνυ σμικροτάτην, σπλῆνα τε ὁμοίως λίαν βραχύτατον, καὶ χεῖρας, καὶ τὰ λοιπὰ πάντα μέρη, ζῶντα εἰσὶν (ὥσπερ καὶ λέγουσιν) ἐν αὐτῇ, καὶ ζῇ ἕκαστον τούτων, καὶ αἰσθάνεται, ἢ νεκρά ἐστι; καὶ ἀρτὰ συνεχῆ ἐστὶ ἀλλήλοις, ἢ κεχώρισται, καὶ ἀπολέλυται ἀπ' ἀλλήλων; εἰ δὴ ζῶσι, καὶ αἰσθάνονται, (εἰσὶ δὲ ἀπολελυμμένα ἀπ' ἀλλήλων εἰ πάτωσαν ἡμῖν πῶς ζῶσιν; ὥσπερ γὰρ ἡ ἀπὸ κοπεῖσα κεφαλὴ, καὶ χωρὶς οὖσα τοῦ ὅλου, οὐ δύναται ζῆν, ὁμοίως οὐδὲ ἢ χεὶρ, οὐδ' ἄλλο οὐδὲν, οὕτως οὐδὲ τὰ ἐν τῷ σπέρματι μέρη κεχωρισμένα, καὶ διεσπαρμένα ὄντα ἀπ' ἀλλήλων, δύνατο ζῆν. εἰ δὲ εἰσὶ καὶ ζῶντα, καὶ συνεχῆ, ἔσται τὶ ζῶον μικρὸν καὶ πρὸ τοῦ γενέσθαι ζῶον, τὸ γὰρ σπέρμα διατοῦτο εἴσιν ἐν τῇ ὑστέρᾳ διὰ τὸ γενέσθαι ἐξ αὐτοῦ ὡς ἐκ μὴ ζώου, ζῶον. ἕκαστον γὰρ τῶν γινομένων ἐκ τῆς οἰκείας γίνετο ἀποφάσεως ὡς ἐν τῷ ἄλφα δέδεικται τῆς φυσικῆς ἀκροάσεως, ἔσται ἀρτὰ ζῶον, καὶ πρὸ τοῦ εἰς τὴν ὑστέραν εἰσελθεῖν, καὶ ὅλως πρὸ τοῦ ζῶον γενέσθαι. ἔτι εἰ κεφαλὴ ἀπέρχεται ἀπὸ τῆς τοῦ παιδὸς κεφαλῆς, καὶ χεῖρες ἀπὸ τῶν χειρῶν, καὶ τὰ ἄλλα ἀπὸ τῶν ἄλλων, δῆλον ὡς, καὶ αἰδοῖον ἄπεισιν ἐκ τοῦ αἰδοίου, ὅταν οὖν τέκη ἡ μήτηρ θῆλυ, πῶς οὐκ ἔχει τὸ τεχθὲν αἰδοῖον οἷόν ἐστι τὸ τοῦ παιδὸς, ἀλλ' ἕτερον οἷον τὸ τῆς μηδός; εἰ δὲ φήσουσιν, ὅτι ὅσα ἀπὸ τοῦ παιδὸς ἀπέρχεται μέρη, τοσαῦτα καὶ ἀπὸ τῆς μηδὸς, καὶ ἐπὶ τούτῳ διαφέρει τὸ τοῦ γεννηθέντος αἰδοῖον πρὸς τὸ τοῦ παιδὸς, ἀνάγκη δύο τείκτειν ἀεὶ τὴν μητέρα. καὶ ὧν μὲν προσήρμοσε τὸ ἀπὸ τοῦ παιδὸς αἰδοῖον τοῦτ' εἶναι ἄῤῥεν, ὧν δὲ τὸ ἀπὸ τῆς μηδὸς, τοῦτο θῆλυ. εἰ γὰρ πάντα ὅσα συνίστησι τὸ ζῶον ἔξεισιν ἀπὸ τοῦ παιδὸς, ταῦτα δὲ πάντα καὶ ἀπὸ τῆς μηδὸς, ἀνάγκη δύο τεκεῖν ἀεὶ, νῦν δ' οὐχ ὁρῶμεν πάσας οὐδὲ πάντοτε, ἀνὰ δύο τικτούσας τὰς γυναῖκας, ἀλλ' ὀλίγαι διδυμοτοκοῦσι, καὶ οὐκ ἀεί. ἀλλ' εἴπερ οὕτω χρὴ λέγειν, ὅτι ὁμοίως καὶ ἀπὸ πάντων τοῦ παιδὸς, καὶ ἀπὸ πάντων τῆς μηδὸς μορίων ἐξέρχεται μόρια, (εἰ χρὴ οὕτω λέγειν) συμφωνότερα τῷ τοιούτῳ λόγῳ, καὶ ὁμολογούμενα λέγει μᾶλλον ἐμπεδοκλῆς. ἀλλ' εἴπερ ἑτεράπη, τουτέστι ἀλλ' εἴπερ ἑτερά εἰσι τὰ εὔλογα, καὶ ἀληθῆ, ἃ μέλλει λέγειν αὐτὸς, πρὸς μὲν τὰ ὑπὸ τῶν ἄλλων λεγόμενα, συμφωνότερα τὰ τοῦ ἐμπεδοκλέους, πρὸς δὲ τὰ ἀληθῆ ὑπὸ τούτου λεχθησόμενα, λέγει οὐ καλῶς. ὁ γὰρ δὴ ἐμπεδοκλῆς, ἔλεγεν ἀπέρχεσθαι, καὶ ἀπὸ τοῦ παιδὸς, καὶ ἀπὸ τῆς μηδὸς, μέρη, ἀλλ' οὐχ ὥσπερ ἐκεῖνοι. ἐκεῖνοι μὲν γὰρ, ὅτι καὶ ἀπὸ τοῦ παιδὸς πάντα ὅσα συνίστησι τὸ ζῶον, καὶ ἀπὸ τῆς μηδὸς ὁμοίως τὰ αὐτὰ πάντα. ὁ δὲ ἐμπεδοκλῆς ἔλεγεν ὅτι τινὰ μὲν ἀπὸ τοῦ παιδὸς τινὰ δὲ ἀπὸ τῆς μηδὸς, ἀπὸ μὲν τοῦ παιδὸς τὰ κυριώτερα, οἷον κεφαλὴ καρδία, ἧπαρ, τὰ ὅμοια. ἀπὸ δὲ τῆς μηδὸς τὰ ἀκηρότερα, οἷον πόδες, χεῖρες τὰ ὅμοια. ὅτι δὲ ἔλεγεν ὁ ἐμπεδοκλῆς, καὶ πρὸς τούτῳ, ὅτι καὶ τὰ ἀπὸ τοῦ παιδὸς ἐξερχόμενα ἔτι ὄντα ἐν τῷ ταιδὶ ζῇ, καὶ τὰ ἀπὸ τῆς μηδὸς ὁμοίως, ὥστε συμφωνότερα καὶ τοῖς φαινομένοις λέγει ἐμπεδοκλῆς. Οὐ γὰρ ἀναγκάζει ὁ τούτου λόγος, δίδυμα τίκτειν πάσας καὶ πάντοτε τὰς γυναῖκας. Οἷον οὖν σύμβολον, καὶ συνδρομὴν, καὶ συνέλευσιν τῶν ἀπὸ τοῦ παιδὸς, καὶ τῆς μηδὸς ἐξελθόντων μορίων, ἀπεφαίνετο ὁ ἐμπεδοκλῆς εἶναι τὸ τεχθὲν, ἀλλ' οὔτε μόνου τοῦ παιδὸς, οὔτε μόνης τῆς μηδός. εἰ πῶν δὲ ἡ μὲν ἐν ἀνδρὸς, οὐκ ἀπέδωκε τὸ, ἡ δὲ ἐν γυναικός. ἔτι, εἴπερ καὶ ἀπὸ τῆς μηδὸς πάντα ἐξέρχεται ὅσα συνίστησι τὸ ζῶον, ἔχει δὲ ἡ μήτηρ ἐν ἑαυτῇ οὐ μόνον πάντα ταῦτα τὰ δυνάμενα συστῆσαι τὸ ζῶον, ἀλλὰ καὶ ὑποδοχὴν, αὕτη δ' ἐστὶν ἡ ὑστέρα, ἐν ᾗ συναθροίζεται τὰ τοιαῦτα μέρη, διατί οὐ γεννᾶ ἐξ αὐτῆς, καὶ ἀνδρὶ μὴ πλησιάσασα; τὰ μὲν οὖν ἄῤῥενα ἔστω μὴ γεννᾶν ἐξ αὐτῶν, ὅτι μὴ δὲ ὑστέραν ἔχει, καὶ ἀποδοχήν, τὰ δὲ θήλεα, διὰ τινάποτε αἰτίαν, καὶ χωρὶς ἄῤῥενος οὐ γεννᾶ; καὶ δῆλον ὅτι οὐκ ἀπὸ πανὸς ἅπαντα ἀπέρχεται. ἢ γὰρ ἂν, ἐγέννα ἐξ αὐτῶν τὰ θήλεα. ἀλλ' εἴπερ ὅλως δοτέον, ὅτι ἀπέρχεται, οὕτω ἂν ἀπήρχετο, ὥσπερ ἐμπεδοκλῆς λέγει, ὅτι τὰ μὲν κυριώτερα ἀπὸ τοῦ παιδὸς, τὰ δὲ μὴ τοιαῦτα ἀπὸ τῆς μηδός. ὥστε, καὶ ἀνάγκη κατὰ τὸν ἐμπεδοκλέως λόγον, ὁμιλία γίνεσθαι, καὶ συνδυασμὸν, εἰ μέλλει σύλληψις γενέσθαι. εἰ γὰρ μὴ συνέλθοιεν ἀμφότερα τὸ ἄῤῥεν καὶ τὸ θῆλυ. πῶς ἂν τὰ ἀπὸ τοῦ παιδὸς ἐξερχόμενα. (ταῦτα δὲ ἦν τὰ κυριώτερα,) μετὰ τῶν ἀπὸ τῆς μηδὸς ἐξερχομένων ἐνωθεῖεν; ἀλλὰ καὶ τὰ ὑπὸ ἐμπεδοκλέους λεγόμενα, ἀδύνατά ἐστι κἂν συμφωνότερα τοῖς φαινομένοις τυγχάνῃ. καὶ πῶς ἀδύνατον; ἐπάγει. ὥσπερ γὰρ φησὶ, καὶ μεγάλα ὄντα τὰ ἀνομοιομερῆ, ἡ νίκα τὸ νεῖκος τῆς φιλίας ἐπε-

κράτησεν, οὐκ ἠδύνατο ἔμψυχα εἶναι. (ἐμψύχους γὰρ καὶ αἴσθησιν ἐχούσας ἔλεγε τὸ ἂν αὐχένους κόρσας) ὥσπερ οὖν αἱ μεγάλαι ἐκεῖναι κεφαλαὶ, οὐκ ἠδύνανται ἔμψυχοι εἶναι, καὶ αἴσθητι καὶ κεχωρισμέναι οὖσαι τῶν ὁλοτήτων, ὁμοίως δὲ οὐδὲ αἱ μεγάλαι ἐκεῖναι χεῖρες, καὶ τὰ ἄλλα. οὕτως ἀδύνατον, καὶ τὴν ἀπὸ τοῦ πατρὸς ἐξερχομένην βραχυτάτην κεφαλὴν, καὶ τὰ ἄλλα ὅσα λέγει ἐξ αὐτοῦ ἐξέρχεσθαι κεχωρισμένα ὄντα ἀπ' ἀλλήλων, ζῆν τε, καὶ αἰσθάνεσθαι. Οὔτε οὖν ἄψυχα ὄντα, καὶ κεχωρισμένα ἀπ' ἀλλήλων δύναται σώζεσθαι, ἀλλὰ σήπεται, καὶ φθείρεται. οὔτε μὲν ἔμψυχα, καὶ ὡς περὶ ζῶα ὄντα πολείω, δύνανται συνελθεῖν, καὶ συμφύναι ἀλλήλοις, ἐξ ἑνὸς ζώου ἀπαρτισμὸν, οὐδὲν γὰρ ζῶον ὁρῶμεν ἐκπολῶν ζώων συγκείμενον. ἀλλὰ μὴν (ὥσπερ ἐμπεδοκλῆς ἔλεγεν) ἐπὶ τῆς φιλότητος τουτέστι ἐπὶ τῇ ἥττῃ μὲν τῆς φιλότητος, ἐπικρατείᾳ δὲ τοῦ νείκους συναθροισθῆναι ἐν τῇ γῇ τὰς κεφαλὰς, καὶ χεῖρας, καὶ τὰ ἄλλα πάντα μέρη ἔμψυχα ὄντα, καὶ αἴσθησιν ἔχοντα, εἶτα ἐκτούτων ὥσπερ ἀπὸ ζώων πολλῶν γενέσθαι ἕκαστον τῶν ζώων, οὕτω συμβαίνει λέγειν, καὶ τοῖς ἀπὸ πάντων τῶν μερῶν ἀπιέναι πάντα λέγουσιν. ἀδύνατον δὲ ζῶα ὄντα τὰ τοιαῦτα μέρη συνιόντα συναθροισθῆναι εἰς ἕνα τόπον, καὶ ἀλλήλοις συμφῆναι. εἶτα πῶς κεχωρισμένα ὄντα ἀπ' ἀλλήλων διέσπαται, ἤτοι τέτακται, καὶ καθ' αὑτὸ ἀφώρισθαι τὸ ἄνω, καὶ κάτω, καὶ αἱ λοιπαὶ δύο περιστάσεις. πῶς οὖν δὴ γέγονεν εὔτακτος ἡ τούτων θέσις. ἀλλὰ μὴ ὡς ἔτυχε, τὰ μὲν οὖν λεγόμενα τοιαῦτα. τὴν δὲ λέξιν τὴν ὥσπερ γὰρ καὶ μεγάλα ὄντα, ἀδύναται διεσπασμένα σώζεσθαι, καὶ ἔμψυχα εἶναι. καθάπερ ἐμπεδοκλῆς γεννᾷ, οὕτως ἀναγνωστέον. ἀδύνατον διεσπασμένα σώζεσθαι, καὶ ἔμψυχα εἶναι, ὥσπερ καὶ μεγάλα ὄντα καθάπερ φησὶ ἐμπεδοκλῆς.

Ἐπειδὴ φησὶ τὰ μέρη, τὰ μὲν δυνάμει διώρισται, τὰ δὲ πάθεσι, τὰ μὲν ἀνομοιομερῆ, τῷ δύνασθαι τί ποιεῖν, οἷον γλῶττα τῷ δύνασθαι γεύεσθαι, καὶ χεὶρ τῷ ἅπτεσθαι, τὰ δὲ ὁμοιομερῆ, σκληρότητι, μαλακότητι, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις πάθεσιν. ἀλλὰ δὴ καὶ τὸ αἷμα, οὐ πάντως ἔχον αἷμα ἐστί. οὐδὲ μὲν ἡ σὰρξ σὰρξ. ἐπεὶ οὖν ταῦθ' οὕτως, ἀδύνατον τὸ ἀπελθὸν, συνώνυμον εἶναι τοῖς μέρεσιν. εἰ γὰρ ἐκμὲν τοῦ αἵματος ἔξεισιν αἷμα, ἐκ δὲ τῆς κεφαλῆς κεφαλὴ, καὶ ἐκ τῶν λοιπῶν τὰ ἀλλὰ, ἔσται αἷμα πρὸ τοῦ γενέσθαι αἷμα, καὶ ὅλως ζῶον πρὸ τοῦ γενέσθαι ζῶον. εἰ δὲ οὐκ ἐκ τοῦ αἵματος ἄπεισιν αἷμα, ἀλλ' ἐστὶ τί τὸ δημιουργοῦν, καὶ ποιοῦν τὸ αἷμα, οὐδὲ τῆς ὁμοιότητος αἴτιον ἂν εἴη τὸ ἀπιέναι τὶ ἀπὸ πάντων τῶν μερῶν, ἀλλ' ἱκανὸν ἀφ' ἑνὸς μόνου μορίου οἷον τοῦ αἵματος, (περίττωμα γὰρ αἵματος ἐστὶ, ὡς ἐρεῖ, καὶ δείξει τὸ σπέρμα,) ἱκανὸν οὖν ἀπὸ τούτου μόνου ἀπιέναι τὸ σπέρμα. οὐδὲ τὸ σπέρμα, ἢ μᾶλλον τὴν ἐν τούτῳ

Ἔτι δὲ τὰ μέρη τὰ μὲν δυνάμει, τὰ δὲ πάθεσι διώρισται. τὰ μὲν ἀνομοιομερῆ, τῷ δύνασθαί τι ποιεῖν, οἷον γλῶττα, καὶ χεὶρ, τὰ δὲ ὁμοιομερῆ, σκληρότητι, καὶ μαλακότητι, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις πάθεσιν. οὐ πάντως οὖν ἔχον αἷμα, οὐδὲ σάρκα. δῆλον τοίνυν ὅτι ἀδύνατον τὸ ἀπελθὸν εἶναι συνώνυμον τοῖς μέρεσιν, οἷον αἷμα ἀπὸ αἵματος, ἢ σάρκα, ἀπὸ σαρκός. ἀλλὰ μὴν εἴγε ἐξ ἑτέρου τινὸς ὄντος αἷμα γίνεται, οὐδ' ἂν τῆς ὁμοιότητος αἴτιον εἴη ὡς λέγουσιν οἱ φάσκοντες, οὕτω τὸ ἀπελθεῖν ἀπὸ πάντων τῶν μορίων, ἱκανὸν γὰρ ἀφ' ἑνὸς ἀπιέναι μόνον. εἴπερ μὴ ἐξ αἵματος αἷμα γίγνεται, διὰ τὶ γὰρ οὐκ ἂν καὶ ἅπαντα ἐξ ἑνὸς γίγνοιτο; ὁ αὐτὸς γὰρ λόγος ἔοικεν οὗτος τῷ Ἀναξαγόρου, τῷ μηθὲν γίγνεσθαι τῶν ὁμοιομερῶν. πλὴν ἐκεῖνος μὲν, ἐπὶ πάντων, οὗτοι δὲ, ἐπὶ τῆς γενέσεως τῶν ζώων τοῦτο ποιοῦσιν. ἔπειτα τίνα τρόπον αὐξηθήσεται ταῦτα τὰ ἀπελθόντα ἀπὸ παντός; Ἀναξαγόρας μὲν γάρ φησιν εὐλόγως σάρκας ἐκ τῆς τροφῆς προσιέναι ταῖς σαρξί. τοῖς δὲ μὴ ταῦτα μὲν λέγουσιν, ἀπὸ πανὸς δὲ ἀπιέναι φάσκουσι, πῶς ἑτέρου προσγενομένου ἔσται μεῖζον, εἰ μένει τὸ προσελθόν; ἀλλὰ μὴν εἴγε δύναται μεταβάλλειν τὸ προσελθὸν, διὰ τὶ οὐκ εὐθὺς ἐξ

ἀρχῆς



ἀρχῆς τὸ σπέρμα τοιοῦτόν ἐστιν, ὥστε ἐξ αὐτοῦ δυνατὸν εἶναι γίνεσθαι αἷμα, καὶ σάρκας, ἀλλὰ μὴ αὐτὸ εἶναι ἐκεῖνο αἷμα, καὶ σάρκας; οὐ γὰρ δὴ οὐδὲ οὕτως ἐν δέχεται λέγειν, ὡς τῇ κατακεράσει αὐξάνεται ὕστερον, οἷον οἶνος ὕδατος παρεγχυθέντος. ἦν γὰρ ἂν πρῶτον μάλιστα μὲν ἕκαστον, ἄκρατον ὄν. νῦν δὲ ὕστερον μᾶλλον, καὶ σὰρξ, καὶ ὀστοῦν, καὶ τῶν ἄλλων ἕκαστον ἐστὶ μορίων. τοῦ δὲ σπέρματος φάναι τὶ νεῦρον εἶναι καὶ ὀστοῦν, λίαν ἐστὶν ὑπὲρ ἡμᾶς τὸ λεγόμενον.

δύναμιν μιξὰ τοῦ κατὰ μηνίου, ποιεῖν ἅπαντα τὰ τοῦ ζώου μέρη. διὰ τὶ γὰρ τοῦ αἵματος γινομένου ἐξ ἑνὸς τινὸς, οὐ γενήσεται καὶ τὰ ἀλλὰ πάντα μέρη, ὑπ' ἐκείνου; λέγει δὲ τὸν λέγοντα λόγον, ἐξ αἵματος μὲν ἀπέρχεσθαι αἷμα, καὶ ἐκ τῆς κεφαλῆς κεφαλὴν, καὶ τὰ λοιπὰ ἐκ τῶν λοιπῶν, ἐοικέναι τῷ τοῦ ἀναξαγόρου λόγῳ τῷ λέγοντι μηδὲν ἐξ αἵματος γίνεσθαι, εἶναι δὲ ἀεὶ τὰς ὁμοιομερείας, καὶ ἅπαντα ἐν πᾶσιν. ἀλλ' ὁ μὲν τοῦ ἀναξαγόρου λόγος, δέδωκε πολλάκις εὐθύνας. τούτους δὲ ἐρωτητέον, τίνα τρόπον ἡ ἀπελθοῦσα ἐκ τῆς κεφαλῆς κεφαλὴ αὔξεται, καὶ τὰ ἀλλὰ μόρια; ὁ μὲν γὰρ ἀναξαγόρας ἔλεγεν τὴν σάρκα αὔξεσθαι, καὶ τὰ αἵματα, καὶ τὰ ἀλλὰ μόρια, ὑπὸ τῶν σαρκῶν, καὶ αἱμάτων, καὶ ὀστῶν, τῶν ἐν ὄντων τῷ ἄρτῳ, καὶ οἴνῳ. πάντα γὰρ ἐν πᾶσιν ἐκείνω ἐδόκει. τοῖς δὲ μὴ λεγούσι μὲν τὰ τοῦ ἀναξαγόρου, ἀπὸ πανὸς δὲ τοῦ σώματος ἀπιέναι σώματα φάσκουσι, πῶς ἑτέρου πρὸς γινομένου μεῖζον ἔσται, εἰ μένει ἡ προσελθοῦσα τροφὴ ἄπεπτός τε κ' ἀναλλοίωτος; εἰ δὲ φήσουσιν αὐτὴν πέττεσθαί τε, καὶ μεταβάλλειν, εἰς σάρκας, καὶ αἵματα, καὶ τὰ λοιπὰ, διατὶ οὐκ εὐθὺς ἐξ ἀρχῆς τὸ σπέρμα τοιοῦτον εἶναι λέγουσιν, ὥστε δύνασθαι εἰς αἷμα, καὶ σάρκας, καὶ τὰ λοιπὰ μεταβάλλειν μέρη, ἀλλὰ λέγουσιν ὅτι ἐν ἐργείαν ἐνεῖσιν ἐν αὐτῷ αἵματα, καὶ κεφαλὴ, καὶ τὰ λοιπά; ἀλλὰ μὴν οὐδὲ οὕτως λέγειν αὐτοὺς ἐν δέχεται. ὅτι ὥσπερ ἐν τῷ οἴνῳ ἐμμιγνύμενον, καὶ κατακεραννύμενον τὸ ὕδωρ αὔξει τὸν οἶνον, οὕτω καὶ ἡ τροφὴ εἰς αἷμα μὲν, καὶ σάρκας οὐ μεταβάλλει, ἐμμιγνυμένη δὲ αὐτοῖς αὔξει. οὐδὲ οὕτως οὖν ἐν δέχεται λέγειν, διατί; ὅτι ὥσπερ ὁ οἶνος πρὸ τοῦ εἰσελθεῖν ἐν αὐτῷ τὸ ὕδωρ ἄκρατος ἦν, καὶ καθαρὸς, καὶ ὄντως οἶνος, μιχθεὶς δὲ καὶ κατακερασθεὶς οὐκέτι, οὕτω καὶ τὸ αἷμα ἦν ἂν αἷμα πρὸ τοῦ μιχθῆναι τὴν τροφὴν, μιχθίσης δὲ, οὐκέτι αἷμα, ἀλλά τι ἄλλο. νῦν δ' ὁρῶμεν ὅτι ὕστερον μᾶλλον, καὶ τὸ αἷμα, καὶ ἡ σὰρξ, καὶ τὰ ἄλλα, οὕτως εἰσὶν ὅπερ λέγονται, καὶ οὐ πρότερον. ἔτι τὸ λέγειν ὅτι ἐνεῖσιν ἐν τῷ σπέρματι ἐν ἐργείᾳ νεῦρα, καὶ ὀστᾶ, λίαν δέ ἐστι, ὑπὲρ ἡμᾶς τὸ λεγόμενον, οὐδέποτε γὰρ εἴδομεν ἐν αὐτῷ νεῦρα καὶ σάρκας.

Γρὸς δὲ τούτοις εἰ τὸ θῆλυ, καὶ ἄρρεν τῇ κυήσει διαφέρει (καθάπερ ἐμπεδοκλῆς λέγει.) Ἐν δ' ἐχύθη καθαροῖσι τὰ μὲν τελέθουσι γυναῖκες, ψύχεος ἀντιάσαντα.

τοκηδώτων) διὰ τούτων γὰρ φανερὸν ἔσται καὶ περὶ τοῦ θήλεος πότερον προΐεται σπέρμα ὥσπερ τὸ ἄρρεν. καὶ ἔστιν ἓν μῖγμα τὸ γινόμενον ἐκ δυοῖν σπερμάτοιν, ἢ οὐθὲν σπέρμα ἀποκρίνεται ἀπὸ τοῦ θήλεος, καὶ εἰ μηθέν, πότερον οὐδὲ ἄλλο οὐδὲν συμβάλλεται εἰς τὴν γένεσιν, ἀλλὰ μόνον παρέχει τόπον, ἢ συμβάλλεταί τι, καὶ τοῦτο πῶς, καὶ τίνα τρόπον, ὅτι μὲν οὖν ἐσχάτη ἐστὶ τροφὴ τὸ αἷμα τοῖς ἐναίμοις, τοῖς δ' ἀναίμοις τὸ ἀνάλογον, εἴρηται πρότερον. ἐπεὶ δὲ καὶ ἡ γονὴ περίττωμά ἐστι τροφῆς, καὶ τῆς ἐσχάτης, ἤτοι αἷμα ἂν εἴη, ἢ τὸ ἀνάλογον, ἢ ἐκ τούτων τι. ἐπεὶ δ' ἐκ τοῦ αἵματος πεσσομένου, καὶ μεριζομένου πως, γίνεται τῶν μορίων ἕκαστον. τὸ δὲ σπέρμα πεφθὲν μέν, ἀλλοιότερον ἀποκρίνεται τοῦ αἵματος. ἄπεπτον δ' ὄν, καὶ ὅταν τις προσβιάζηται πλεονάκις χρώμενος τῷ ἀφροδισιάζειν, ἐνίοις αἱματῶδες ἤδη προελήλυθε, φανερόν, ὅτι τῆς αἱματικῆς ἂν εἴη περίττωμα τροφῆς τὸ σπέρμα, τῆς ἐπὶ τὰ μέρη διαδιδομένης τελευταίας, καὶ διὰ τοῦτο μεγάλην ἔχει δύναμιν. καὶ γὰρ ἡ τοῦ καθαροῦ, καὶ ὑγιεινοῦ αἵματος ἀποχώρησις, λυπηρόν, καὶ τὸ ὅμοια γίγνεσθαι τοῖς γεννήσασι τὰ ἔκγονα, εὔλογον. ὅμοιον γὰρ τὸ προσελθὸν πρὸς τὰ μέρη, τῷ ὑπολειφθέντι, ὥστε τὸ σπέρμα ἐστὶ τὸ χειρὸς, ἢ τὸ τοῦ προσώπου, ἢ ὅλου τοῦ ζῴου, ἀδιόριστος χείρ, ἢ πρόσωπον, ἢ ὅλον ζῷον, καὶ οἷον ἐκείνων ἕκαστον ἐνεργείᾳ, τοιοῦτον τὸ σπέρμα δυνάμει ἢ κατὰ τὸν ὄγκον τὸν ἑαυτοῦ, ἢ ἔχει τινὰ δύναμιν ἐν ἑαυτῷ. τοῦτο γὰρ οὔπω δῆλον ἡμῖν ἐκ τῶν διωρισμένων. πρότερον τὸ σῶμα τοῦ σπέρματός ἐστι τὸ αἴτιον τῆς γενέσεως, ἢ ἔχει τινὰ ἕξιν, καὶ ἀρχὴν κινήσεως γεννητικήν· οὐδὲ γὰρ ἡ χείρ, ἢ ἄλλο τι τῶν μορίων οὐδέν, ἄνευ ψυχῆς, ἢ ἄλλης τινὸς δυνάμεώς ἐστι χείρ, οὐδὲ μόριον οὐθὲν ἀλλὰ μόνον ὁμώνυμον. φανερὸν δὲ ὅτι καὶ ὅσοις σύντηξις γίνεται σπερματική, καὶ τοῦτο περίττωμά ἐστι. συμβαίνει δὲ τοῦτο, ὅταν ἀναλύηται εἰς τὸ προσελθόν, ὥσπερ ὅταν ἀποπέσῃ τὸ ἐναλειφθὲν τοῦ κονιάματος εὐθύς· ταὐτὸν γάρ ἐστι τὸ τελευταῖον περίττωμα, τῷ πρώτῳ περιττώματι, καὶ περὶ μὲν τούτων διωρίσθω τὸν τρόπον τοῦτον. ἐ-

πεὶ



ἐπεὶ δ' ἀναγκαῖον καὶ τῷ ἀσθενεστέρῳ γίγνεσθαι περίττωμα πλεῖον, καὶ ἧττον πεπεμμένον, τοιοῦτον δ' ὄν, ἀναγκαῖον εἶναι αἱματώδους ὑγρότητος πλῆθος. ἀσθενέστερον δὲ τὸ ἐλάττονος θερμότητος κοινωνοῦν κατὰ φύσιν. τὸ δὲ θῆλυ, (ὅτι τοιοῦτον, εἴρηται πρότερον), ἀναγκαῖον καὶ τὴν ἐν τῷ θήλει γινομένην αἱματώδη ἀπόκρισιν περίττωμα εἶναι. γίνεται δὲ τοιαύτη, ἡ τῶν καλουμένων καταμηνίων ἔκκρισις. ὅτι μὲν οὖν ἐστι τὰ καταμήνια περίττωμα, καὶ ὅτι ἀνάλογον ὡς τοῖς ἄρρεσιν ἡ γονή, οὕτω τοῖς θήλεσι τὰ καταμήνια, φανερόν.

τὰ πρόεσιν ὑγρότητός τινος, τὸ δὲ θῆλυ πάθοι μὲν οὐ κατὰ πρόεσιν δὲ τοιαύτης ὑγρότητος; ὥστε ἢ οὐδὲ τὸ ἄρρεν πάσχει ταύτην τὴν ἡδονήν, κατὰ πρόεσιν ὑγρότητος, ἢ εἰ τοῦτο διὰ ταύτην, ἀνάγκη καὶ τὸ θῆλυ διὰ πρόεσιν ὑγρότητος συναισθάνεσθαι αὐτῆς. οὕτω μὲν οὖν καὶ τοιούτῳ λόγῳ ἐπειρῶντο δεικνύναι ὅτι ἡ γονὴ μῖγμα ἐστὶ ἀμφοῖν ταῖς ὑγροτήσιν. ἡ πάντων δὲ, καὶ παραλογίζοντες ἑαυτοὺς ὡς δειχθήσεται. ἡμεῖς δέ φαμεν ὅπερ ἔλεγεν νῦν, ὅτι διοριστέον καὶ περὶ καταμηνίων (φανερὸν γὰρ ἔσται διὰ τούτων,) καὶ περὶ τοῦ θήλεος, πότερον προΐεται σπέρμα, καὶ ἡ μῖγμα ἐστὶ τὸ κυρίως σπέρμα καὶ ἡ κυρίως γονή, ἥτις κινεῖ, καὶ συνίστησι τὸ καταμήνιον δυοῖν ὑγροτήτοιν, ἢ οὐδὲν ἀποκρίνεται σπέρμα ἀπὸ τοῦ θήλεος, καὶ εἰ μὴ σπέρμα, οὐδὲ ἄλλο οὐδὲν συνεργεῖ πρὸς τὴν γένεσιν καὶ συνεισφέρει, ἀλλὰ μόνον τόπον, καὶ χώραν παρέχεται τῷ ἐμβρύῳ, λέγων τόπον τὴν ὑστέραν, ἢ συμβάλλεται. ἔχειν δὲ λέγει τὸ σπέρμα μεγάλην δύναμιν εἰς τὸ ποιεῖν ἔκλυσιν, καὶ ἀδυναμίαν ἀφ' οὗπερ ἀπέρχεται διὰ τὸ εἶναι περίττωμα τῆς αἱματικῆς τροφῆς. τὸ γὰρ καθαρώτατον καὶ ὑγιεινὸν αἷμα, ὅπερ ἔμελλε τὰ μόρια θρέψαι, πεφθέν πως, καὶ ἀλλοιωθέν, καὶ εἰς σπέρματος μεταμειφθὲν φύσιν, καὶ θύραζε ἐξελθὸν, λυπηρόν, τουτέστι ἐκλυτικὸν γίνεται. εὔλογον δέ φησι καὶ τὸ ὅμοια γενέσθαι τὰ ἔγγονα τοῖς γεννήσασι, τὸ γὰρ προσελθὸν αἷμα τοῖς τοῦ γεννῶντος μορίοις, καὶ θρέψαι αὐτά, ὅμοιον ἐστὶ τῷ ἀπολειφθέντι, καὶ διὰ κινήσεως πως εἰς φύσιν σπέρματος ἀμειφθέντι. ἐπεὶ οὖν τὸ ἀπολειφθέν, καὶ σπέρμα γεγονὸς, ὅμοιον ὂν τῷ προσκριθέντι, (μέρος γὰρ ἐκείνου) εὔλογος τὸ ἐκ τοῦ ἀπολειφθέντος γενόμενον παιδίον ὅμοιον ἐστὶ τῷ πατρί, τὸ γὰρ σπέρμα τὸ ἐκ τοῦ πατρικοῦ αἵματος ὅλον ἐστὶ δυνάμει τὸ παιδίον. ὅπερ δαιμονίως αὐτὸς σαφηνήσει ἐν τῷ ἐφεξῆς βιβλίῳ, μετ' ὀλίγον γὰρ τῆς τοῦ δευτέρου βιβλίου ἀρχῆς, δείκνυσι πῶς ἐστι τὸ σπέρμα δυνάμει, τὸ παιδίον. εἰπὼν δέ, καὶ οἷον ἐκείνων ἕκαστον ἐνεργείᾳ, τοιοῦτον τὸ σπέρμα δυνάμει, ἐπήγαγεν, ἢ κατὰ τὸν ὄγκον τὸν ἑαυτοῦ, ἢ ἔχει τινὰ δύναμιν ἐν ἑαυτῷ. ἐστὶ δὲ κατὰ τὸν ἑαυτοῦ ὄγκον ὁ χαλκὸς, δυνάμει ἀνδριάς. ὅσος γὰρ ἐστὶ ὁ τοῦ χαλκοῦ ὄγκος, τοσοῦτος ἐστὶ καὶ ὁ ἐξ αὐτοῦ γεγονὸς ἀνδριάς, τὸ δὲ σπέρμα τῷ μὲν ὄγκῳ βραχύτατον ἄν, πῶς ἂν εἴη τῷ ὄγκῳ δυνάμει τὸ ζῷον; λείπεται ἄρα τῇ ἐν ἑαυτῷ δυνάμει. ὥσπερ γὰρ καὶ τῆς κεγχραμίδος, ἀφ' ἧς ἡ συκῆ, ὁ μὲν ὄγκος πάνυ σμικρὸς, ἡ δύναμις ἀφ' ἧς τὸ τηλικοῦτον γέγονε δένδρον, πολλή, οὕτως καὶ ἐπὶ τῆς γονῆς τῶν ζῴων, ἐστὶ οὖν καὶ ἡ γονή, καὶ ἡ κεγχραμίς, τὸ ζῷον καὶ ἡ συκῆ, δυνάμει, ἀλλ' οὐ τῷ ὄγκῳ. τῇ δὲ ἐν αὐτοῖς κινητικῇ καὶ ποιητικῇ αἰτίᾳ. εἰπὼν δὲ ὅτι τοιοῦτον ἐστὶ δυνάμει τὸ σπέρμα, ἢ κατὰ τὸν ὄγκον τὸν ἑαυτοῦ, ἢ ἔχει τινὰ δύναμιν ἐν ἑαυτῷ, τὴν αἰτίαν ταύτης τῆς προσθήκης ἐπήγαγεν εἰπών, τοῦτο γὰρ οὔπω δῆλον ἡμῖν, πότερον τὸ σῶμα καὶ ὁ ὄγκος τοῦ σπέρματός ἐστι αἴτιον τῆς γενέσεως, ἢ ἔχει τινὰ ἕξιν. δείξει δὲ καὶ τοῦτο, λέγω δὴ ὅτι οὐ τὸ σῶμα τοῦ σπέρματος, ἀλλ' ἡ ἐν αὐτῷ ἕξις ἐστὶ αἰτία τῆς γενέσεως, ἐν τῷ ἐφεξῆς βιβλίῳ. ἰστέον δὲ ὅτι εἰ κατὰ τὸν ὄγκον ἦν δύναμις, ὑλικὸν ἦν, καὶ οὐ ποιητικόν. ὥσπερ δέ φησι ἡ λιθίνη χείρ, ὁμωνύμως ἐστὶ χείρ, οὕτω καὶ τὸ σπέρμα εἰ μὴ εἶχε ψυχικήν τινα καὶ γεννητικὴν δύναμιν, ὁμωνύμως ἂν ἦν σπέρμα. μετὰ ταῦτα λέγει, καὶ περὶ τῆς σπερματικῆς συντήξεως τῆς καὶ γονορροίας λεγομένης ὅπως γίνεται. ὥσπερ γάρ φησι πολλάκις εἰς τοὺς τοίχους ἐναλείψαντες οἱ οἰκοδόμοι ἄσβεστον, ἢ ἄλλο τι κονίαμα, συμβαίνει ἅμα τῷ ἀλεῖψαι πεσεῖν κατὰ γῆς, διὰ τὸ μὴ καλῶς κεκρατηκέναι τε καὶ κεκολληκέναι ἐν τῷ τοίχῳ, οὕτω χρὴ νοεῖν τοιοῦτόν τι συμβαίνειν καὶ γίνεσθαι ἐπὶ τοῦ σώματος τῶν ζῴων, ἡ γὰρ προσληφθεῖσα αἱματικὴ τροφὴ περὶ τῆς ἑλκτικῆς δυνάμεως τῆς ψυχῆς, καὶ προσκριθεῖσα τῇ σαρκί, διὰ ἀσθένειαν δέ τινα τῆς καθεκτικῆς μὴ κρατηθεῖσα φύσεως

καὶ πεφθεῖσα τελέως, ἀλλὰ μέσον οὖσα σαρκὸς καὶ αἵματος, πάλιν ἀναλύεται εἰς τὸ αἷμα ἀφ' οὗπερ ἐλήφθη, καὶ οὕτω πῶς ἀλλοιωθεῖσα κακῶς γίνεται οἷον γονὴ, καὶ ἔξεισιν ὡς εἰπεῖν καθ' ἑκάστην ὥραν παρ' ὅλον τὸν τῆς νόσου καιρόν. καὶ ἡ μὲν τῶν λεγομένων διάνοια αὕτη, τὰ δὲ τῆς λέξεως ὧδε δέπη ἔχει. συμβαίνει δὲ ἐξ ἀνάγκης, τουτέστι ἡ σπερματικὴ σύντηξις, ὅταν ἡ προσκριθεῖσα αἱματικὴ τροφὴ, ἀναλύηται εἰς τὸ προσελθὸν, τουτέστι ἀφ' οὗ προσελήφθη αἵματος, ἢ εἰς τὸ προσελθὸν ἀντὶ τοῦ εἰς τὴν φύσιν, καὶ τὸ εἶδος τοῦ αἵματος (αἷμα γὰρ ἦν τὸ προσελθὸν) καὶ διὰ ἐξ ἀνάγκης πάλιν ἀναλύεται εἰς αἵματος φύσιν. τὸ γὰρ τελευταῖον περίττωμα, ἤτοι τὸ προσληφθὲν, εἶτα ἀναλυθὲν, ταυτόν ἐστι τῷ αἵματι, ἐξ ἀνάγκης γὰρ εἶπε πρῶτον περίττωμα, διὰ γὰρ τὸ πᾶν, ὃ δύναται εἴς τι δι' ἀλλοιώσεως, καὶ πέψεως μεταβαλεῖν, περίττωμα εἶναι τρόπον τινὰ πρὸς ἐκεῖνο πρὸς ὃ μεταβαλεῖν δύναται. εἶπε καὶ τὸ αἷμα περίττωμα, πρὸς γὰρ τὴν σάρκα, περίττωμα ἐστι, καὶ περὶ μὲν τούτων, ταύτη διωρίσθω. ἐπεὶ δὲ φησὶ ἀναγκαῖον καὶ τῷ ἀσθενεστέρῳ ζώῳ γίνεσθαι περίττωμα, πλέον μὲν τῷ ὄγκῳ καὶ τῷ μεγέθει, ἧττον δὲ τῇ πέψει. τὰ μὲν γὰρ ἰσχυρότερα τῶν ζώων, καὶ θερμότερα, ὀλίγον προΐενται περίττωμα, ἀλλὰ μᾶλλον πεπεμμένον, τὰ δὲ ψυχρότερα πολὺ μὲν τῷ μεγέθει, καὶ τῷ ὄγκῳ, ἀπεπτον δὲ. τὸ γὰρ πλέον περίττωμα, δι' ἀπεψίαν γίνεται. ἐπεὶ οὖν ἀναγκαῖον καὶ ἀσθενεστέρῳ γίνεσθαι πλέον μὲν, ἀπεπτότερον δὲ τοῦ τῶν θερμοτέρων ζώων περιττώματος, πᾶν δὲ τὸ πλέον καὶ ἀπεπτότερον περίττωμα αἱματώδους ἐστὶ ὑγρότητος πλῆθος, ἀναγκαῖον καὶ τὸ καταμήνιον περίττωμα εἶναι. συλλογιστέον οὖν ὧδε. τὸ θῆλυ ἀσθενέστερον, καὶ ψυχρότερον, τὸ τοιοῦτον πλέον, καὶ ἀπεπτότερον προΐεται περίττωμα, τὸ τοιοῦτον, πλῆθος ἐστὶ αἱματώδους ὑγρότητος, τὸ τοιοῦτον, καταμήνιον, τὸ καταμήνιον ἄρα περίττωμα.

Ε ἰπὼν καὶ δείξας, ὅτι καὶ ἡ γονὴ καὶ τὸ καταμήνιον, περιττώματα εἰσὶ τῆς ἐσχάτης τροφῆς, πιστοῦται ἐξ ἀνάγκης ἀπὸ τῶν συμβαινόντων αὐτοῖς, τῷ τε ἄρρενι, καὶ τῷ θήλει. ἐπεὶ γὰρ κατὰ τὸν αὐτὸν χρόνον τῆς ἡλικίας, οὗτος δ' ἐστὶν ὁ τεσσαρεσκαιδέκατος, καθ' ὃν τὸ ἄρρεν προΐεται τὴν γονὴν, ἐναλλαγὴ τε τῆς φωνῆς γίνεται, καὶ τῶν μαθῶν ἄρσις, ὀγκοῦνται γὰρ καὶ οἱ τῶν ἀρρένων τότε μαστοὶ ὁμοίως τοῖς τῶν θηλέων, καὶ τὰ ἄλλα πάντα πάσχει, ἃ σαφῶς καταλέγει. κατὰ τὸν αὐτὸν δὲ χρόνον τὰ αὐτὰ συμβαίνει καὶ τοῖς θήλεσι, μεταβάλλει γὰρ καὶ τὸ θῆλυ τὴν φωνὴν, καὶ τὰ ἄλλα πάντα πάσχει. δέδεικται δὲ ὅτι τὸ σπέρμα περίττωμα, δῆλον ὡς καὶ τὸ καταμήνιον περίττωμα ἐστί. αἱμορροΐδας δὲ λέγει, τὰ περὶ τὴν ἕδραν, καὶ ἐντὸς καὶ ἐκτὸς γινόμενα διά τινα νόσον φύματα, ἀφ' ὧν αἷμα ἀπορρεῖ. ἀλλὰ καὶ φλεβώδεις λέγων τοὺς μεγάλους, καὶ ἐπιδήλους ἔχοντας φλέβας, λέγει δὲ καὶ τὰ θήλεα γλα-

Ὅτι δ' ὀρθῶς εἴρηται, σημεῖα τὰ συμβαίνοντα περὶ αὐτῶν. κατὰ γὰρ τὴν αὐτὴν ἡλικίαν, τοῖς μὲν ἄρρεσιν ἄρχεται ἐγγίγνεσθαι γονὴ, καὶ ἀποκρίνεται, τοῖς δὲ θήλεσι, ῥήγνυται τὰ καταμήνια. καὶ φωνήν τε μεταβάλλουσι, καὶ σημαίνει τὰ περὶ τοὺς μαστούς. καὶ παύεται τῆς ἡλικίας λήγουσης, τοῖς μὲν, τὸ δύνασθαι γεννᾶν, ταῖς δὲ, τὰ καταμήνια. ἔτι δὲ καὶ τὰ τοιάδε σημεῖα, ὅτι περίττωμά ἐστιν αὕτη ἡ ἔκκρισις τοῖς θήλεσιν. ὡς γὰρ ἐπιτοπολὺ οὔτε αἱμορροΐδες γίνονται ταῖς γυναιξὶν, οὔτε ἐκ τῶν ῥινῶν ῥῦσις αἵματος, οὔτε τι ἄλλο, μὴ τῶν καταμηνίων ἱσταμένων ἄν τε συμβῇ, τι τούτων, γίγνονται χείρους αἱ καθάρσεις ὡς ἀναλισκομένης εἰς ταῦτα τῆς ἀποκρίσεως. ἔτι δὲ οὔτε φλεβώδεις ὁμοίως. γλαφυρώτερά τε, καὶ λειότερα τὰ θήλεα τῶν ἀρρένων ἐστὶ, διὰ τὸ συνεκκρίνεσθαι τὴν εἰς ταῦτα περίττωσιν ἐν τοῖς καταμηνίοις. τὸ δὲ αὐτὸ ἐξ ἀνάγκης δεῖ νομίζειν αἴτιον εἶναι, καὶ τοῦ τοὺς ὄγκους ἐλάττους εἶναι τοῖς θήλεσιν, ἢ τοῖς ἄρρεσιν, ἐν τοῖς ζωοτοκοῦσιν, ἐν τούτοις γὰρ ἡ τῶν καταμηνίων γίνεται ῥῦσις θύραζε μόνοις, καὶ τούτων ἐπιδηλότατα ἐν ταῖς γυναιξὶ, πλείστην ἢ ἀπόκρισιν ἀφίησι γυνὴ τῶν ζώων. διόπερ ἐπιδηλοτάτως ἀεὶ

ὠχρόν τέ ἐστιν



ὠχρόν τέ ἐστι, καὶ ἀδηλόφλεβον, καὶ τὴν ἔλειψιν πρὸς τοὺς ἄρρενας ἔχει τοῦ σώματος φανεράν. ἐπεὶ δὲ τοῦτ' ἐστὶν ὃ γίγνεται τοῖς θήλεσιν ὡς ἡ γονὴ τοῖς ἄρρεσιν, ἅμα δὲ δύο σπερματικὰς ἀποκρίσεις οὐκ ἐνδέχεται γίνεσθαι. φανερὸν ὅτι τὸ θῆλυ οὐ συμβάλλεται σπέρμα εἰς τὴν γένεσιν, εἰ μὲν ἢ σπέρμα ἦν, τὰ καταμήνια οὐκ ἂν ἦν, νῦν δὲ διὰ τὸ ταῦτα γίγνεσθαι ἐκεῖνο οὐκ ἔστι. διότι μὲν οὖν ὥσπερ τὸ σπέρμα, καὶ τὰ καταμήνια περίττωμά ἐστιν, εἴρηται.

φυρώτερα ἤτοι εὐειδέστερα τῶν ἀρρένων εἶναι, καὶ λεῖα, διὰ τὸ τὰς τραχύτητας ποιοῦν περίττωμα συνεξέρχεσθαι τοῖς καταμηνίοις. πολλῶν γὰρ καὶ παντοδαπῶν ἐν ἡμῖν γινομένων περιττωμάτων, καὶ μὴ δυναμένων ῥαδίως καὶ συντόμως ἐξελθεῖν, συρρέουσι περί τε τὸ πρόσωπον καὶ τὰ λοιπὰ μέρη, καὶ τούτων ἡ ἀσθενὴς ἐστὶ ἡ ἀποκριτικὴ δύναμις, καὶ μὴ δύναται ἀπωθεῖν αὐτὰ, καὶ ποιοῦσιν ὀχθώδεις, καὶ διηρμένους τοὺς τόπους. ἡ δὲ τοιαύτη ἀνωμαλία, καὶ τραχύτης τῶν μελῶν, δυσειδέστερα ἀπεργάζεται τὰ ἄρρενα τῶν θηλέων. ἐπὶ δὲ τὸ καταμήνιον οὕτω γίνεται ἐν τοῖς θήλεσι, ὥσπερ ἡ γονὴ ἐν τοῖς ἄρρεσι, δύο δὲ ἀπὸ τοῦ αὐτοῦ καὶ ἑνὸς ζώου σπερματικὰς οὐκ ἐνδέχεται ἀπιέναι ἀποκρίσεις. εἰ γὰρ ἐνεδέχετο δύο ἀπὸ τοῦ θήλεως ἀπέρχεσθαι, καὶ ἀπὸ τοῦ ἄρρενος δύο ἂν ἀπήρχοντο, τοῦ γὰρ αὐτοῦ καὶ τούτου λόγου. ἐπεὶ οὖν δύο οὐκ ἐνδέχεται ἀπὸ τοῦ αὐτοῦ ἀπιέναι, φανερὸν ὅτι τὸ θῆλυ, οὐ συμβάλλεται, οὐδὲ χορηγεῖ σπέρμα εἰς τὴν γένεσιν. εἰ μὲν γὰρ σπέρμα ἦν ἐν αὐτῷ, τὰ κατα μήνια οὐκ ἂν εἴησαν. ἐπεὶ δὲ εἰσὶ καταμήνια, σπέρματα οὐκ ἔστιν.

Λάβοι δ' ἄντις εἰς ἐξ ἀνάγκης μαρτύρια, ἔνια τῶν συμβαινόντων τοῖς ζώοις. τά, τε γὰρ πίονα, ἧττόν ἐστι σπερματικὰ τῶν ἀπιμέλων, ὥσπερ εἴρηται πρότερον. αἴτιον δὲ, ὅτι καὶ ἡ πιμελὴ περίττωμά ἐστι καθάπερ τὸ σπέρμα, καὶ πεπεμμένον αἷμα. ἀλλ' οὐ τὸν αὐτὸν τρόπον τῷ σπέρματι. ὥς τ' εὐλόγως εἰς τῶν πιμελὴν ἀνηλωμένης τῆς περιττώσεως, ἐλλείπει τὰ περὶ τῶν γονὴν, οἷον τῶν τε ἀναίμων τὰ μαλάκια τὰ μαλακόστρακα περὶ τὴν κύησίν ἐστιν ἄριστα. διὰ τὸ ἄναιμα γὰρ εἶναι, καὶ μὴ γίνεσθαι πιμελὴν ἐν αὐτοῖς, τὸ ἀνάλογον αὐτοῖς τῇ πιμελῇ ἀποκρίνεται εἰς τὸ περίττωμα τὸ σπερματικόν.

Καὶ ἐκ τῶν συμβαινόντων φησὶ τοῖς ζώοις λάβοι ἄντις τὴν πίστιν, ὅτι τὰ καταμήνια, καὶ τὸ σπέρμα, περίττωματα εἰσὶ τῆς αἱματικῆς τροφῆς. εὐλόγως οὖν φησὶ ἐλλείπει τὰ περὶ τὴν γονὴν, ἀνηλωμένης τῆς αἱματικῆς περιττώσεως τῆς γενησομένης σπέρμα εἰς τὴν πιμελήν. τὰ δὲ λεγόμενα περὶ τῶν ἀναίμων, καὶ τῶν μαλακίων, σαφῆ ἂν γένοιτο, εἰ ὑπομνησθείημεν πρότερον περὶ τίνων, τὰ δὲ ὑπομνησθησόμενα εἰσὶ τάδε. ὥσπερ γὰρ ἐν τῇ σπερματικῇ συντήξει προσκριθὲν αἷμα, εἰς αἷμα πάλιν ἀναλύεται, καὶ ὁ γεγονὸς ἀὴρ ἐξ ὕδατος, εἰς ὕδωρ ἀναλύεται, καὶ ἁπλῶς πάντα ὅσα γίνεται εἰς ἐκεῖνα ἐξ ὧν γεγόνασιν, ἀναλύονται, οὕτως ἐπειδὴ καὶ ἡ πιμελὴ ἐξ αἵματος γέγονεν, εἰς αἷμα λαβοῦσα δύναμιν πάλιν ἀναλυθήσεται. τούτων ὑπομνησθέντων τὰ λεγόμενα περὶ τῶν μαλακίων εἰη ἂν τοιαῦτα. ὅτι μὲν οὖν τῷ εἰς τὴν πιμελὴν ἀναλίσκεσθαι τὴν αἱματικὴν περίττωσιν ἐξ ἧς τὸ σπέρμα γίνεται, ἐλλείπει τὰ περὶ τὴν γονὴν, δῆλον. τὰ γὰρ μαλάκια, καὶ τὰ μαλακόστρακα, ἐπειδὴ κατὰ τὸν καιρὸν τῆς κυήσεως εὐεκτεῖ, καὶ ἦν ἀκόλουθον ἐν τῷ καιρῷ τούτῳ πιμελώδη γίνεσθαι οὐ γίνεται δὲ διὰ τὸ ἄναιμα εἶναι, ἡ γὰρ πιμελὴ αἷμα ἐστὶ πεπεμμένον. τὸ μέλλον γενέσθαι ἐν αὐτοῖς κατὰ τὸν καιρὸν τῆς κυήσεως ἀνάλογον τῇ πιμελῇ, ἀποκρίνεται εἰς τὸ σπερματικὸν περίττωμα, ὃ καλοῦσιν οἱ πολλοὶ, ὠόν. ὥς τε ἡ φύσις ἐκείνη ἡ γεγονυῖα ὠὸν, ἔοικε τῷ περιττώματι τῷ δυναμένῳ γενέσθαι σπέρμα, μὴ γεγονότι δὲ σπέρμα ἀλλὰ πιμελή. ἐπεὶ οὖν (ὡς εἴρηται) ἐν ᾧ καιρῷ τὰ μαλάκια εὐεκτεῖ, καὶ τὰ μαλακόστρακα, τὸ ἀναλογοῦν τῷ τῆς εὐχρήστου τροφῆς περιττώματι, καὶ γινομένῳ ἢ σπέρμα, ἢ πιμελὴν, ὠὸν γέγονεν, ὅπερ πάλιν ἀναλογεῖ τῇ πιμελῇ. φανερὸν ὅτι ὅπερ ἔμελλε γενέσθαι σπέρμα, γέγονε πιμελῇ, ἐν τοῖς εὐεκτοῦσι, καὶ ἐπὶ τοῦτον ἐλλείπει ἐν αὐτοῖς

ἡ γονή. ἡ δὲ ἀναλογία ἐστὶ τοιαύτη, ὡς τὸ ἀνάλογον τῷ περιττώματι τῆς εὐχύμου τροφῆς ἔχει πρὸς τὸ ᾠόν, οὕτω καὶ ἡ εὔχυμος τροφὴ καὶ δυναμένη γενέσθαι σπέρμα, ἔχει πρὸς πιμελήν. καὶ ἐναλλάξ, ὡς τὸ ἀνάλογον τῇ εὐχύμῳ τροφῇ πρὸς τροφήν, οὕτω καὶ τὸ καλούμενον ᾠὸν πρὸς τὴν πιμελήν. ἀλλὰ μὴν ἐξ ἐκείνου γίνεται ᾠόν, καὶ ἐκ τῆς εὐχύμου ἄρα τροφῆς πιμελή· ὁμοίως ἄρα τῆς εὐχύμου τροφῆς ἀναλισκομένης εἰς τὴν πιμελήν, ἐλλείπει τὰ περὶ τὴν γονήν. λέγει δὲ τὰ μαλάκια περὶ τὴν κύησιν εἶναι ἄριστα, ἤτοι ἡδύτατα, καὶ εὔβρωτα.

Σημεῖον δ' ὅτι οὐ τοιοῦτο σπέρμα προΐεται τὸ θῆλυ οἷον ἄρρεν, οὐδὲ μιγνυμένων ἀμφοῖν γίνεται ὥσπερ τινές φασιν, ὅτι πολλάκις τὸ θῆλυ συλλαμβάνει οὐ γενομένης αὐτῇ τῆς ἐν τῇ ὁμιλίᾳ ἡδονῆς, καὶ γιγνομένης πάλιν οὐδὲν ἧττον, καὶ ἰσοδρομησάντων παρὰ τοῦ ἄρρενος, καὶ τοῦ θήλεος οὐ γίγνεται, ἂν μὴ ἡ τῶν καλουμένων καταμηνίων ἰκμὰς ὑπάρχῃ σύμμετρος. διό, οὔτε ὅλως μὴ γιγνομένων αὐτῶν γεννᾷ τὸ θῆλυ, οὔτε γιγνομένων ὅταν ἐξικμάζῃ ὡς ἐπιτοπολύ, ἀλλὰ μετὰ τὴν ἀποκάθαρσιν, ὅτε μὲν γὰρ οὐκ ἔχει τροφὴν οὐδ' ὕλην, ἐξ ἧς δυνήσεται συστῆσαι τὸ ζῷον, ἡ ἀπὸ τοῦ ἄρρενος ἐνυπάρχουσα τῇ γονῇ δύναμις. ὅτε δὲ συνεκκλύζεται διὰ τὸ πλῆθος, ὅταν δὲ γενομένων ἀπέλθῃ, τὸ ὑπολειφθὲν συνίσταται.

Εἴρηται ἡμῖν καὶ πρότερον, ὅτι οἱ λέγοντες τὸ σπέρμα μῖγμα εἶναι δύο ὑγροτήτων, τῆς τε ἀπὸ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, κατεσκεύαζον τὸ δόγμα λόγῳ τοιῷδε. ἐπειδή φασι καθ' ὃν χρόνον ἔξεισι τὸ σπέρμα, γίνεται ἡ πλείστη ἡδονὴ περὶ τὸ αἰδοῖον, γίνεται μὲν γὰρ καὶ ἐν ἅπαντι τῷ τῆς ὁμιλίας καιρῷ ἡδονή τις, ἀλλ' οὐ τοιαύτη ὁποία ἐστὶν ἡ πρὸς τῷ τέλει τῆς μίξεως, ὅτε καὶ τὸ σπέρμα ἔξεισιν. ἐπεὶ οὖν τὴν τοιαύτην ἡδονὴν κατὰ τὴν τοῦ σπέρματος πρόεσιν ἥδεται, καὶ πάσχει τὸ ἄρρεν, πάσχει δὲ ταύτην καὶ τὸ θῆλυ, ἀναγκαῖον καὶ τοῦτο κατὰ πρόεσιν σπέρματος πάσχειν αὐτήν. ταύτην οὖν τὴν δόξαν ἀνασκευάζει ὁ Ἀριστοτέλης, ἐπὶ ἀξιώματι τοιῷδε. εἰ τὸ σπέρμα καὶ ὅλως ἡ γονὴ μῖγμα ἐστὶ τῶν ἀπὸ τοῦ ἄρρενος καὶ θήλεος ὑγροτήτων, καὶ οὐδετέρα τούτων αὐτὴ καθ' αὑτὴν δύναται κινῆσαι τὴν ὕλην, καὶ ζῷον ἀποτελέσαι, πρὶν ἂν ἀμφότεραι μιχθῶσιν, ἀνάγκη ὅλως μὴ γίνεσθαι σύλληψιν, πρὶν ἂν μιχθῶσιν ἀμφότεραι αἱ ὑγρότητες. ἀλλὰ μὴν συλλαμβάνει τὸ θῆλυ, καὶ ἀπὸ μόνης τῆς τοῦ ἄρρενος ὑγρότητος ὡς δειχθήσεται, οὐκ ἄρα ἡ γονὴ μῖγμα ἐστὶ δυοῖν ὑγροτήτοιν. δείκνυσι δὲ καὶ ὅτι τὸ σπέρμα ἀπὸ μόνου τοῦ ἄρρενός ἐστι, ἐξ αὐτῶν τῶν ὑπ' ἐκείνων λεγομένων, ῥητέον δὲ ἡ μὲν πρὸς τὴν τῶν λεχθησομένων σαφήνειαν, τάδε. ἡ ἐρημονὴ ἡδονὴ ἣν ἔφαμεν γίνεσθαι ἐν τῇ τοῦ σπέρματος προέσει, οὐ πάντοτε ἰσόδρομος γίνεται τῷ ἄρρενι καὶ τῷ θήλει, ὥστε ὅτε ταύτην ἥδεται τὸ ἄρρεν, τότε καὶ κατὰ τὸν αὐτὸν καιρὸν καὶ τὸ θῆλυ. ἀλλ' ὅτε μὲν πάσχει ταύτην τὸ ἄρρεν, καὶ ἀφίσταται τοῦ θήλεος μήπω ταύτην παθόντος καὶ διὰ τοῦτο βουλομένου ἔτι προσδιατρίβειν τῇ ὁμιλίᾳ. ὅτε δὲ ἀνάπαλιν τὸ θῆλυ πεπονθὸς καὶ ἡσθέν, τὸ ἄρρεν οὔπω πέπονθεν. ὅτε δέ, ἰσοδρομοῦσι, καὶ ἵνα καὶ ὅτε πάσχει ταύτην τὸ θῆλυ, τότε καὶ τὸ ἄρρεν. ἐπεὶ οὖν καὶ προγίνεται ἡ τοιαύτη ἡδονὴ τῷ θήλει, καὶ ἰσοδρομεῖ, καὶ ἐπιγίνεται, δῆλον ὅτι οὐδέποτ' ἂν συλλήψεται τὸ θῆλυ εἰ μὴ ἰσόδρομος γένηται ἡ ἡδονή. εἰ γὰρ ἡ γονὴ ἥτις συνίστησι τὸ καταμήνιον, μῖγμα ἐστὶ δυοῖν ὑγροτήτοιν, ἡ δὲ ὑγρότης αὕτη ἔξεισιν, ὅτε καὶ ἡ ἄφατος ἡδονὴ γίνεται, δῆλον ὅτι ὅτε προγένηται τῷ ἄρρενι, καὶ ἀποστῇ ἀπ' αὐτοῦ τοῦ θήλεος, οὐδέν τι τοιοῦτον τὸ θῆλυ προέπεμψεν, οὔπω γὰρ ἔπαθε τὴν ἡδονήν, ὥστε οὐδ' ἀφῆκεν ὑγρότητα, εἰ γὰρ ἀφῆκε, καὶ ἔπαθεν. ὥστε δῆλον, ὅτι οὐκ ἄν ποτε συλλήψεται τὸ θῆλυ προγεγονυίας τῷ ἄρρενι τῆς ἡδονῆς. νῦν δὲ συλλαμβάνει καὶ προγεγονυίας αὐτῆς τῷ ἄρρενι, οὐκ ἄρα μῖγμα ἡ γονή. τούτων οὕτω προεξηγηθέντων τὴν λέξιν μετιτέον. σημεῖον δὲ φησὶ ὅτι τὸ θῆλυ οὐ προΐεται σπέρμα, οὐδὲ ὅλως μῖγμα ἐστὶ τὸ σπέρμα καὶ ἡ γονὴ δυοῖν ὑγροτήτοιν τῆς τε ἀπὸ τοῦ ἄρρενος, καὶ τοῦ θήλεος, ὅτι πολλάκις τὸ θῆλυ συλλαμβάνει οὐ γεγονυίας αὐτῷ τῆς ἐν τῇ ὁμιλίᾳ ἡδονῆς, καὶ δηλονότι, οὐδὲ ἀφέσεως ὑγρότητος σπερματικῆς, ἐπειδὴ τῇ προέσει τῆς τοιαύτης ὑγρότητος ἕπεται ἡ τοιαύτη ἡδονή.



αὕτη ἡ ἡδονή. ὥστε ἐπειδὴ συλλαμβάνει καὶ μὴ προπέμψαν σπέρμα, καὶ ὑγρότητά τινα, οὐκ ἂν εἴη τὸ σπέρμα μῖγμα δυοῖν ὑγροτήτοιν, ἀλλ' ἡ μόνη ἡ τοῦ ἄρρενος. συλλαμβάνει γὰρ ὡς εἴρηται τὸ θῆλυ, καὶ μὴ γινομένης ἐν αὐτῷ τῆς ἡδονῆς, καὶ γινομένης πάλιν, οὐ συλλαμβάνει, γίνεται γὰρ ἡ τοιαύτη ἐν τῷ θήλει ἡδονή, καὶ ὅμως οὐ συλλαμβάνει. ὁμοίως δὲ καὶ ἰσοδρομησάντων τοῦ τε ἄρρενος, καὶ τοῦ θήλεος περὶ τὴν ἡδονήν, οὐ γίνεται σύλληψις, ἂν μὴ τῶν καταμηνίων ἡ ἰκμάς, τουτέστι τὰ καταμήνια συμμέτρως ὑπάρχει. καὶ διὰ τὸ γίνεσθαι τὴν σύλληψιν ἐν συμμετρίᾳ τῶν καταμηνίων, οὔτε ὅλως γεννᾷ τὸ θῆλυ μὴ γινομένων τῶν καταμηνίων, οὔτε γινομένων ὅταν ἐξικμάζῃ, τουτέστιν ὅταν ἀσύμμετρα, καὶ πολλῶν ὄντων, συνεξάγηται αὐτοῖς ἡ γονή. ἐξερχόμενα γὰρ τὰ καταμήνια, συνεξάγουσι καὶ τὴν ἀπὸ τοῦ ἄρρενος ἐν τῷ θήλει εἰσελθοῦσαν γονήν. γινομένων οὖν τῶν καταμηνίων, οὐ γεννᾷ ἤτοι συλλαμβάνεται τὸ θῆλυ, ἀλλὰ μετὰ τὴν κάθαρσιν. ἢ τὸ ἐξικμάζει, ἀντὶ τοῦ εἰς ἀτμὸν ἀναλύσει, πολλὰ γὰρ ὄντα τὰ καταμήνια, καὶ διὰ τοῦτο θερμά, ἐξικμάζουσι τὸ σπέρμα καὶ ξηραίνουσι καὶ ἄγονον ποιοῦσιν. εἰπὼν δέ, ὅτι οὔτε γινομένων συλλαμβάνεται τὸ θῆλυ, οὔτε μὴ γινομένων, τὴν τούτου αἰτίαν ἐπήγαγεν εἰπών, ὅταν μὲν γὰρ οὐ γίνεται τὰ καταμήνια, οὐκ ἔχει τροφὴν οὐδὲ ὕλην, ἐξ ἧς δύναται συστῆναι τὸ ζῷον ὑπὸ τῆς ἀπὸ τοῦ ἄρρενος γονῆς. ὥσπερ γὰρ ὁ ἀνδριαντοποιὸς χωρὶς χαλκοῦ, ἢ ὅλως ὕλης, ἀδυνατεῖ ἀνδριάντα ποιῆσαι, οὕτως καὶ ἡ γονὴ χωρὶς τῶν καταμηνίων συστῆσαι ζῷον. οὔτε δὴ μὴ γινομένων τῶν καταμηνίων συνίσταται ζῷον, οὔτε οὖν πάλιν γινομένων, διὰ τὸ συνεκκλύζεσθαι, καὶ συνεξέρχεσθαι τοῖς καταμηνίοις τὸ σπέρμα. ἀλλ' ἐπειδὰν ἀπέλθοι τὸ πλῆθος, καὶ ἡ ἀμετρία τούτων, καταλειφθῶσι δέ τινα σύμμετρα καὶ δυνάμενα συνίστασθαι ὑπὸ τῆς γονῆς, τότε γεννᾷ τὸ θῆλυ.

Ὅσαι δὲ μὴ γιγνομένων τῶν καταμηνίων συλλαμβάνουσιν, ἢ μεταξὺ γιγνομένων ὕστερον δὲ μή, αἴτιον, ὅτι ταῖς μὲν τοσαύτη γίνεται ἰκμάς, ὅση μετὰ τὴν κάθαρσιν ὑπολείπεται ταῖς γονίμοις, πλείων δ' οὐ γίγνεται περίττωσις, ὥστε καὶ θύραζε ἀπελθεῖν. ταῖς δὲ μετὰ τὴν κάθαρσιν συμμύει τὸ στόμα τῶν ὑστερῶν, ὅταν οὖν πολὺ μὲν τὸ ἀπεληλυθὸς ᾖ, ἔτι δὲ γίνηται μὲν κάθαρσις, μὴ τοσαύτη δ' ὥστε ἐξικμάζειν τὸ σπέρμα, τότε πλησιάζουσαι συλλαμβάνουσιν. οὐδὲν δὲ ἄτοπον τὸ συνειληφυίαις ἔτι γίγνεσθαι, καὶ γὰρ ὕστερον μέχρι τινὸς φοιτῶσι τὰ καταμήνια, ὀλίγα δὲ καὶ οὐ διὰ παντός, ἀλλὰ τοῦτο μὲν νοσηματῶδες, διόπερ ὀλίγαις, καὶ ὀλιγάκις συμβαίνει. τὰ δ' ὡς ἐπὶ τὸ πολὺ γινόμενα μάλιστα κατὰ φύσιν ἐστίν. ὅτι μὲν οὖν συμβάλλεται τὸ θῆλυ εἰς τὴν γένεσιν τὴν ὕλην, τοῦτο δ' ἐστὶν ἐν τῇ τῶν καταμηνίων συστάσει. τὰ δὲ καταμήνια περιττώματα, δῆλον.

Εἰπὼν ὅτι οὔτε γινομένων τῶν καταμηνίων, οὔτε μὴ γινομένων γίνεται σύλληψις, ἀλλὰ μετὰ τὴν κάθαρσιν τοῦ περιττοῦ, καὶ ἀσυμμέτρου, καὶ περίληψιν συμμέτρου. ἐπειδὴ συλλαμβάνουσί τινες, καὶ μηδόλως παθοῦσαι τὴν τῶν καταμηνίων ῥύσιν. πολλαὶ γὰρ μέχρι τῆς ἑκατὸν ζήσασαι χρόνων, οὐκ εἶδον ὅλως ποτὲ εἰσὶ τὰ καταμήνια, ἢ ὅλως τὴν τοιαύτην αἱματικὴν ῥύσιν πεπόνθασιν, ἀλλὰ διετέλεσαν ἐπίσης τοῖς ἀνδράσιν ἄνευ τῆς τῶν καταμηνίων προέσεως, καὶ ὅμως συνελάβοντο, καὶ ἀπέτεκον. ἐπεὶ οὖν συνελάβοντό τινες καὶ μὴ γινομένων ὅλως ἐν αὐταῖς θύραζε τῶν καταμηνίων. καὶ αὖ πάλιν ἄλλαι τινὲς μεταξὺ τῆς προέσεως. αὐτὸς δὲ εἶπε, μὴ γίνεσθαι σύλληψιν, οὔτε γινομένων καὶ προϊεμένων, οὔτε μὴ γινομένων, τὴν αἰτίαν τούτου διὰ τούτων ἐπήγαγε λέγων. ὅσαι δὲ μὴ γινομένων πώποτε ἐν αὐταῖς καταμηνίων συλλαμβάνουσιν, ἢ μεταξὺ ὅτε προΐονται, ὕστερον δὲ μή, αἴτιον τούτου. ὅτι ταῖς μὴ ὅλως πασχούσαις πρόεσιν καταμηνίων, τοσαύτη γίνεται ἰκμάς, ἤτοι τοσαῦτα γίνεται καταμήνια, ὅσα μετὰ τὴν κάθαρσιν ὑπολείπεται ταῖς γονίμοις, ὥστε συλλαμβάνουσι μέν, διὰ τὸ ὅλως γίνεσθαι ἐν αὐταῖς καταμήνια, οὐκ ἐξέρχονται δὲ ἔξω, διὰ τὸ ὀλίγα εἶναι, καὶ τοσαῦτα ὅσα μετὰ τὴν κάθαρσιν ὑπολείπεται ταῖς γονίμοις. αὗται μὲν οὖν διὰ ταῦτα συλλαμβάνονται. ταῖς δ' ἄλλαις συμβαίνει συλλαμβάνειν μεταξύ, διὰ τὸ συμμύειν μετὰ τὴν κάθαρσιν τὸ στόμα τῶν ὑστερῶν, ἀλλὰ μεταξύ, ὅτε τυγχάνουσιν οὖσαι ἀνεῳγμέναι διὰ

πλὴν τ̃ κρατε μιώνων ἐξοδον. ἀ πῶν δὲ τὸ κρατε μιώνα ὑλικὸν αἴτιον, τὸ δὲ σπέρμα μᾶλλον δὲ πλὴ οὐ τὸ σπέρματι σωμα μεν ποιητικόν. ἐ πειδὴ οἵ πισ τ̃ γωναικῶν καὶ μιᾷ πλὴ σύμπηξιν γίνετ κρατε μιώνα, εἴπε σ' ἄν τις ὡς ἐ περ ὑλης τ̃ κρατε μιώνων γίνετ ἡ ζῷον, πῶς μιᾷ πλὴ σύμπηξιν γίνεται πισ κρατε μιώνα; λέγομεν, οὐ δὲν δὲ ἄτοπον καὶ σωφλικφίσαις ἔτι φοιτῶν ἀ ζ αὐ τ̃ κρατε μιώνα ὀλίγα, καὶ οὐ διὰ πανηρὸς καιροῦ τῆς κυήσεως, οὐ γὰρ ἀ ον ἐνέα μιῶς φέρει τὸ ἔμβρυον ἡ γυνὴ, καὶ οὐ νάκις ἀ ζ αὐ τῆς φοιτῶ. ἀλλ' ἅπαξ, ἡ δὶς, οὐδὲν οὕτω ἄτοπον ἴζεσθ συμβαίνῃ αὐ τοῖς διὰ πάνα νόσον.

Η διὰ ἔ ρηται μὲν ὅτι οἱ λέγοντες ἢ ἐκ τοῦ ἅλεος ἀ πέρχεσθαι σπέρμα, κρατεσκληκ ὸς ἂν ὁ οὕτως. ἐ πεὶ ἡ χαρὰ, καὶ πόνου πολλὴ ἡ δονὴ οὐ τῆ τοῦ σπέρματος πρόεσει γίνεται, πόσῳ δὲ ἧσσον τὴν πλὴν χαρὰν καὶ τὸ ἅλυ, δ ἅλυον ὅτι προΐεται σπέρμα. ἄλλως τε φασὶν, ἐ πεὶ καὶ ὑγρασίαν πινὰ οὐ τῆ ὁ μιλίᾳ ἀ ποκρίνει τὸ ἅλυ, τὶ ἂν ἀλλοεῖη ὑ γρό τῆς αὕτη, ἃ μὴ σπέρμα; πρὸς ταῦτα ἀ παντῶν ὁ Ἀ ριστοτέλης, καὶ πρᾶον πρὸς τὸ δὺ τερον, λέγει μὴ εἶν σπέρμα τ̃ τοιαύτην ὑ γρασίαν, ἀλλ' ἰδιό τητός τινα τοῦ τοῦτο, λέγων τόπον τ̃ ὑ στέραν, ἴδιον γὰρ ἴζεσθ τῆς ὑ στέρας ἀ ποκρίνειν διαύτην ὑ γρό τητα, ἥ πις ἐ στ ἀ χρωστος, ὥ σπερ καὶ τῶν ὀ φθαλμῶν, τὸ πέμπειν δ' ἀ κρυον. ἄλλως τε φησὶ, οὐ δὲ πάσας ταῖς γωναιξὶ γίνεται αὕτη ἡ ὑ γρασία, ἀλλὰ μόναις ταῖς λδυκοχροίαις καὶ μελανκαῖς ζωυτέσι ψυχροτρόφοις, διὰ γὰρ σὺ δειαν θερμοῦ ἡ λδυκό τητος. ὥ στε, ἐ πειδὴ ψυχρό τεραι αἱ λδυκαὶ τ̃ μὴ λδυκῶν, δικό τως οὐ αὐ ταῖς μό ναις γίνετ τὸ τοιοῦτον περίτωμα, καὶ ἡ διαύτην ὑ γρασία. πᾶσαι γὰρ περίτωσις δι' οὐ σδειαν θερμ γίνεται. ἀ ρχονο πούς δὲ λέγει τὰς θερμοτρόφας, διὰ ζῆν γὰρ ἡ μέλαναι διό τι ἡ θερμαί. οὕτως οὖν οὐ τὰς πρὸς τὸ δὺ τερον, ἀ πανταχοῦ ἡ πρὸς τὸ πρῶτον, φάσκων μὴ μόνον γίνεσθ τ̃ ἡ δονὴν διὰ τὴς τ̃ σπέρματος πρόεσιν, ἀλλὰ ἡ διὰ τὸ σωκαθροιζόμενον ἀνδῦ μα, ὅ περ ἀνδῦ μα, σωίστατ ἂ ς σπέρμα, ὥ ς περ ἡ ὁ ἀ ὴρ ἂ ς ὕ δωρ. ἐ πειδὴ δῶν (ὡς λέγομεν) γίνετ ἡ τοιαύτη ἡ δονὴ οὐ τῷ ἄ ρρεν ἡ χαρᾶς τῆς ζῶ

Ο δ' οἴονταί τινες σπέρμα συμβάλλεσθαι οὐ τῇ σωουσίᾳ τὸ ἅλυ, διὰ τὸ γίνεσθαι παραλησίαν τε χαρὰν οἵ ὁτε αὐ τοῖς τῇ τ̃ ἀ ρρένων, καὶ ἅμα ὑ γρὰν ἀ πόκρισιν, οὐκ ἔ στιν ἡ ὑ γρασία αὕτη σπερματικὴ, ἀλλὰ τ̃ πεύ ἴδιος ἑ κάστου. ἔ στι γὰρ τῶν ὑ στέρων ἔ κκρισις, καὶ τοῖς μὴ γίνεται, τοῖς δ' οὗ γίνεται μὴ τοῖς λδυκοχρόοις, καὶ ἅλυκοῖς ὡς ἐ πὶ πολὺ δ' ἐ πεῖν. οὐ γίνεται δὲ τοῖς μελαίναις, καὶ ἀ ρρενωποῖς. τὸ δὲ πολὺ ἅλυ ὡ ς γίνεται, οὐ ἵ οτε οὐ κρατὸ σπέρματος πρόεσίν ἐ στιν, ἀλλὰ πολὺ ὑ περβάλλει. ἔ τι δὲ καὶ ἐ σέσματος ἕ περα ἑ τόρων ποιεῖ πολλὴ διαφορὰν ζῶ γίνεσθαι τ̃ ἔ κκρισιν, ἢ ἐ λάτ, ἢ πολέω πλὴ ζωὴν τ̃. οἷον οἵα τῶν ὀ ρνιθέων, ἐ πὶ πλὸν ποιεῖ ἡ ς πολὺ ἅλυος πλὴ ἀ πόκρισιν. τὸ δὲ συμβαίνειν ἡ δονὴν τῇ σωουσίᾳ, ὃ μόνον τοῦ σπέρματ ζος προϊεμένου ἐ στὶν, ἀλλὰ καὶ πανδύ ματος, ἅ ζ οὗ συνισαμένου, ἀ πεπερματίζει. δῆλον δ' ἐ πὶ τῶν θαλάσσων τῶν μήπω δωναμένων προΐεσθαι, ἐ γγὺς δὲ τῆς ἡ λικίας ὄντων, καὶ τῶν ἀ γόνων ἀ νδρῶν. γίνετ ἢ πᾶσι ζῳ τοις ἡ δονὴ ξυομένοις, καὶ τοῖς μ διαφθαρμένοις πλὴ γένεσίν ἐ στιν ὅ τε ἀ ναλύονται αἱ κοιλίαι, διὰ τὸ ἀ ποκρίνεσθ περίτωμα ἅ ς τὴν κοιλίαν, οὐ δυνάμενον πεφθῆναι, καὶ γενέσθ σπέρμα. ἔ νι δὲ καὶ πλὴ μορφὴν γωνὴ, καὶ θαῖς, καὶ ἔ στιν ἡ γωνὴ, ὥ ς περ ἄ ρρεν ἄ γονον. ἀ δυναμία γάρ πινι τὸ ἅλυ ἐ στ, τὸ μὴ δύνασθαι πέπειν ἐ κ τῆς ζοφῆς σπέρμα, τῆς ὑ στάτης. ζῆν δ' ἐ στὶν αἷμα καὶ τὸ ἀ ναλογον οὐ τοῖς ἀ ναίμοις διὰ ψυχρό τητα τῆς φύσεως. ὥ σπερ οὖν οὐ τοῖς κοιλίαις διὰ πλὴν ἀ πέψιαν γίνετ διάρροια, οὕτως οὐ τοῖς φλεψὶν αὖ τε ἄλλαι αἱ μορροΐδες, καὶ αἱ τ̃ κρατε μιώνων, καὶ τ̃ αὖ τη αἱ μορροΐδες ἐ στ. ἀ λλ' ἐ κεῖναι μὲν διὰ νόσον. αὗται δὲ φυσικαί. ὡς τε φανερὸν ὅτι δι' ὅλου γίνεται ἐ κ τούτου ἡ γένεσις. ἐ στι γὰρ τὸ καθαμήνια, σπέρμα δ' κρατὸ, ἀλλὰ διόμοιον ζῳ ργασίας.

σπέρματος



σπέρματος προέσεως, διὰ πανδῦ μα γενήσεται ἡ οὐ τῷ ὑ λῇ διὰ πανδύ ματος ἄ θροισιν, ἡ δ' διὰ σπέρμα ζος προέσιν. ἀ λλ' ἡ τοῖς παισὶ τοῖς μήπω προΐεμοι οις σπέρμα, γίνεται ἡ διαύτη ἡ δονὴ, ὡ ς ἡ κ διὰ τ̃ χειρῶν ξύουσι ἀ ναίδεον. ἀ λλ' ἡ διεφθαρμένων πεῖ τ̃ γένεσιν, ἀ ναλύονται τοῦ τοῦ τέ φέρονται αἱ κοιλίαι, διὰ τὸ ἀ ποκρίνεσθ περίτωμα ἅ ς τ̃ κοιλίαν μὴ δυνάμενον ἅ ς σπέρμα μετασκαλεῖν, ἡ ὅμως γίνεται καὶ τοῦτοις, (λέγω δὲ τοῖς πεῖ τῶν γένεσιν διεφθαρμένοις, καὶ μὴ προϊεμένοις σπέρμα), ἡ διαύτη ἡ δονή. ἀ λλ' καὶ ἐ πειδὴ ἡ γωνὴ ἔ οικε παισὶ, διὰ τε τ̃ φωνῶν, (ὁ ξύφωνα γὰρ ἀ μφώτερα,) διά τε τὸ ἀ ζί χαστον ἔ χειν τ̃ γένων, διά τε ἄλλα πολλὰ, συλλογιστέον τῇ σέᾳ, ἡ γωνὴ ἔ οικε παισ ἵ ᾳ, οὐ δὲν δὲ παισὶν προΐεται σπέρμα, οὐ δὲ μία ἀ ρα γωνὴ προΐεται σπέρμα, λέγει δὲ, καὶ ὅτι αἱ μὲν αἱμορροΐδες γίνονται διὰ νόσον, ἡ δὲ τῶν κρατε μιώνων ἐ ύσις φύσει.

Κ ἀ ρπούς νων λέγει τοὺς ἀ λδύ ρα. γένεσιν δὲ τ̃ ξύμπασιν, ἵ ζ ἡ ς καὶ ἡ ξύμπ. μήπω δὲ διη ημένα, τῶν μήπω κεκ σκινισμένα, ἐ κ τοῦ διαπῶ ἡ κ σκινίζω. ἔ τι δὲ ἂν ἡ λεγόμενον τοιοῦτον. ὥ σπερ οὖ τοῖς ἀ λδύ ροις ζοῖς μὴ κεκ σκινισμένοις, ἀ λ' οὖσιν ἀ ναμεμιγμένοις μιᾷ πλύροις οἷ εσι μὲν ἡ ζοφὴ, λέγων ζοφῶν, καὶ τοὺς τοὺς κρατὰ ἀ λδύ ρα τοὺς ἀ πὸ τ̃ πλύρων διὰ τ̃ κοσκίνου ἀ ποκρι θέντας. καὶ διὰ ῥυμώστεως, ἡ ἰσχνοῦ, ἄ ρτος γενόμενα. ὥ σπερ οὖν οὐ τοῖς ἀ ναμεμιγμένοις ἀ λδύ ροις, οἷ εσιν ἡ στεμίδαλις, διέται δὲ ὀ ργασίας, καὶ κοσκινίστεως πρὸς τὸ ἀ ποκριθῆναι ἀ πὸ τῶν πλύρων, οὕτως ἔ χει καὶ τοὺς κρατε μιώνα, ὥ στ γὰρ σπέρμα οὐ κρατὸν, τοῦτο δὲ ταυτόν ἐ στι τῷ στεμίδαλις μετὰ πλύρων, ἡ διέται ὥ σπερ τοῦτ τοῦ κοσκινίσαντος, οὕτω τὸ κρατα μιώνα τοῦ ὀ ργασαμένου καὶ συνήσαντος αὐ τὸ σπέρματος. καὶ ὥ σπερ δ' ἐ ᾶτις, μὴ κεκ σκινισμένα ἀ λδύ ρα, οἷα πίνακα ἐ μμένει διέκα πίνακι καθαρὰς στεμίδαλεος, διωάτει τὸ μίγμα τῶν οἷ διέκα πινάκων ζέφειν, οὕτω καὶ ἡ γονὴ γεννᾶν μιγνυμένη τοῖς κρατε μιώνοις.

Ε ἴ ρηται ἡ πρότερον ὅτι ἡ ἀ πὸ τῶν λδυκοχροίων γωναικῶν γινομένη ὑ γρασία, οὐκ ἴζεται ἐ ύσας διὰ τοῦ αἰδοίου αὐ τ̃, ὥ σπερ τὸ ἀ φ' ἡ μῶν ἀ πὸν σπέρμα, ἀ λ' ἴζ ἀ πάσης μὲν τῆς ὑ στέρας ἐ κκρίνετ, ἐ ᾶς τι δὲ μέρος ἑ αυτῆς συναθροίζετ. τοῦζου ὑ πομνηθέντος, εἴη ἂν τὸ λεγόμενον, διωάμει ζοιοῦτον, ἃ σπέρμα ἰῶ ἡ ζιαύτη ὑ γρασία ἡ ἀ πὸ τ̃ λδυκοχροίων γωναικῶν ἀ ποκρινομένη οὐ τῷ καιρῷ τῆς ὁ μιλίας, ἐ θέλει ὥ σπερ γίνετ ἐ πὶ τ̃ ἀ ῤῥένων οὕτω γίνεσθ καὶ ἐ πὶ τ̃ ἄ ρρενων, οὐ γίνετ δὲ, οὐκ ἀ ρα ἐ στὶ σπέρμα. πῶς δ' οὐ γίνετ, ῥητέον, οἱ ἄ ῤῥενες, καὶ τ̃ ἀ φῶ, καὶ ἡ δονὴν καὶ τ̃ σπερματικὴν προέσιν, διὰ τ̃ αὐ τ̃ ἡ δὲ αἰδοῖ, πάσχεσι. καὶ γὰρ καὶ διὰ τοῦ αἰδοίου σφῶν οὐ τῇ ὁ μιλίᾳ τ̃ πεῤῥᾴ ψιν, καὶ τ̃ ἀ φὴν οὐ τῷ τῶν γυναικῶν αἰδοίῳ ποιεῖται. καὶ τ̃ ἡ δονὴν οὐ ζοῦ τω πάσχουσι, καὶ τ̃ ὡ ερματικὴν ὑ γρασίαν ὁ μοίως διὰ ζοῦ

του προίοντος. τὸ δὲ θῆλυ ἢ μὴ ἀφὴν μὴ ἢ ἡδονὴν ἀλλὰ ἢ αἰδοῖα πάσχει, ἢ ὑ ἱκμάδα ἃ προίεται διὰ τὰ αἰδοίου, οὐδὲ ὅλως ἔξεισι διὰ τοῦ ζώου θύραξε, ἀλλ' ὃν μέρει τινὶ τῆς ὑστέρας σωθροίζεται. ἐπεὶ δὴν πάσαι γονὴ, καὶ πᾶν σπέρμα, διὰ τὰ αἰδοίου ὃν τῇ ὁμιλίᾳ πρόεισι θύραζε, ἡ δὲ τοιαύτη ὑγρασία οὐκ ἔξεισι θύραζε, ἀλλὰ μᾶλλον συντὸς σωθροίζεται ὃν τῇ ὑστέρᾳ, ἂκὰν εἰκὴ ἡ τοιαύτη ὑγρασία γονή. ἢ τὸ λεγόμενον μᾶλλον ἐστί. ἐπεὶ δύο ὄντα ἔστιν ἃ ἐν τῷ τῆς γυναικὸς αἰδοίῳ, μία μὲν ἀφ' ἧς ἔξεισι τὸ οὖρον, ἄλλη δὲ ἀφ' ἧς τὸ κατα μήνιον, ὁμοίως δὲ καὶ ἡ ὑγρασία. εἰ περ ἢν ἡ ὑγρασία σπέρμα, ἐκ τῆς ὁ τῶν ἀφ' ἧς τὸ οὖρον ἔξεισιν, ἐξέρχεται, ἀλλ' οὐκ ἀπὸ τῆς ὁ τῶν ἀφ' ἧς τὸ κατα μήνιον. ἔτι εἴπερ ἐκεῖθ' ἥλεος ἀῤῥήχετο ὑγρασία τίς, ὡσπερ καὶ ἀπὸ τοῦ ἄῤῥενος, καὶ ἅντως μίγμα ἦν τὸ σπέρμα ἀμφοῖν ἡ ὑγροτήτοιν, ἔθ' ἡ ταύτην τὴν ὑγρασίαν ἀπιέναι καὶ ἀπὸ τῶν ἀναίμων. ἥλεών, νῦν δὲ ἀπὸ μόνων ἄπεισι τῶν σὺν αἵμων, ταῦτα γὰρ εἶπεν αἵματι κόκ. καὶ οὐθ' ἁπὸ πάντων τῶν ἐναίμων ἄπεισι ἥλεων, ἀλλ' ὅσων αἱ ὑστέραι πρὸς ζοῖς ἄῤῥησι ἄσι, καὶ μὴ σὺν τῷ ὑποζώματι. ἅπων δ' ζοῖς μὴ ἔχουσιν αἷμα μὴ γίνεσθαι κάθαρσιν κατα μηνίων, μήτε μὴν πισὶ τῶν σὺν αἵμων, (ἔκπινον γὰρ ὡς εἰπομεν γυναικῶν ἀδύλως φοιτᾶν κατα μήνια) λέγει ὅτι αἴτιον δὲ τοῦτοις τὸ μὴ φοιτᾶν ἅῤῥ αὐτῶν κατα μήνια, ἡ τῶν σωμάτων ξηρότης. λέγει δὲ καὶ πίνα εἶσι τὰ ζωοῦ κωῦτα ἄνδρ ὠοτοκίας, ὅτι οἱ ἄνθρωποι, καὶ ὅσα τῶν τεταπόδων κάμπτει τὰ σκέλη τὰ ὀπίσια ἐν τοῖς, ἥκει πρὸς τὴ κυρτὴ περιφέρεια. τῆς δὲ ἡ κυρτὴ περιφέρεια, εἴρηται μοι ἀκριβῶς οὐ τῷ ἅς τὸ πεῖ ζώων μορίων ὑπομνήματι. τούτοις οὕτω φησὶ πᾶσι τοῖς ζωοτοκοῦσιν ἄνδρ ὠοτοκίας, γίνεται κατὰ πεῖ ζώων ἱστορίας. πλείστη δὲ κρέασις γίνεται τῶν ζώων τοῖς γυναιξὶ, καὶ τοῖς ἄῤῥεσι πλείστη δὲ τῆ σπέρματος πρόεσις κατὰ λόγον τὴ μεγέθος. αἵτιον δ' ἡ τὸ σώματος σύστασις. ὑγρὰ, καὶ θερμὴ οὖσα. ἀναγκαῖον γὰρ οὐ τῷ ζωοῦ γίνεσθαι πλείστην περίπασιν. ἔτι δὲ οὐ τὸ τοιαῦτα ἔχει οὐ τῷ στόματι μέρη, ἅς ἀ ζέπεται περίπασις ὡς περ οὐ ζοῖς ἄλλοις. οὐ γὰρ ἔχει οὐ τε ζιχῶν πολλῆδος κατὰ τὸ στῶμα, οὔτε ὀδόντων, καὶ κεράτων, καὶ ὁ δύντων ἐκκρίσεις, σημεῖον δὲ ὅτι οὐ τοῖς κατα μηνίοις τὸ σπέρμα ἐστὶν. ἅμα γὰ (ὡς περ εἴρηται πρότερον) τοῖς ἄῤῥεσιν γίνεται τὸ περίπαμα ἐκκρῖνον, καὶ τοῖς ἥλεσι τὸ κατα μήνια ἐπισημαίνει οὐ τῇ αὐτῇ ἡλικίᾳ. ὡς καὶ ἅμα ἑστάμενον τὸ τόπων τῶν διεκτικῶν ἑκατέρᾳ τῆ περιπάματος, καὶ ἀῤῥαισμένων ἑκατέρων τῶν γονίμων τόπων, ἐῤῥανθεῖ ἡ τῆς ὕβρις ζίχωσις. μελλόντων δὲ διίστασθαι, οἱ τόποι ἀνοιδοῦσιν ὑπὸ πνεύματος. τοῖς μὲν ἄῤῥεσιν ἐπισηλότερον περὶ τὸ ὄρχεις, ἐπισημαίνει δὲ καὶ περὶ τὸ μαστούς, τοῖς δὲ θήλεσι περὶ ζοὺς μαστὸς μᾶλλον. ὅταν γὰρ δύο διακτύλοις ἀῤῥῶσι, τότε γίνεται τὰ κατα μήνια τελέσεως. οὐ ὅσοις μὲν οὖν τῆ ζωλῶ ἐχόντων μὴ κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄῤῥεν τούτοις μὲν τὸ σπέρμα, οἷον κύημά ἐστι. λέγω δὲ σπέρμα, τὸ πρῶτον μίγμα καὶ θῆλυς, καὶ ἄῤῥενος. διὸ καὶ ἅῤῥ οὐδὲ σπέρματος οὐ στῶμα γίνεται, οἷον οὐδὲ πυροῦ εἰς πυθμὴν, ὥσπερ ἅῤῥ οὐδὲ ὠοῦ, ζῶον. τὰ γὰρ διδυμα τὰ ὠᾶν, δύο ὠᾶ ἐστιν. οὐ ὅσοις δὲ τῶν γονῶν διώρισται τὸ θῆλυ καὶ τὸ ἄῤῥεν, ἐν δὲ τούτοις, ἀφ' οὐδὲ σπέρματος, οὐ διέχεται πολλὰ γίνεσθαι ζῶα. ὡς διαφέροντος τῆ φύσει τὸ σπέρματος οὐ τὸ οὐ τοῖς φυτοῖς τε, καὶ ζώοις. σημεῖον δὲ, ἀπὸ μιᾶς γὰρ ὀχέας, πολέα διωάτ' οὐ τοῖς πολέσι διωαμοῦσι γονᾶν οὐδὲ, ἢ καὶ θῆλυ ὅτι οὐκ ἀπὸ πάντος ἔρχεται ἡ γονὴ, ἅτε χωρὶς κεχωρισμένα ἀπὸ τὸ αὐτὸ μέρος βύθους ἀπεκρίνετο, ἅτε ἅμα ἐλαττόνος ἅς τοῖς ὑστέρας, ἐκεῖ διεχωρίζετο, ἀλλὰ συμβαίνῃ ὥσπερ βύλομαι. ἐπεὶ δὴ τὸ μὲν ἄῤῥεν, παρέχεται τὸ, πεῖδος, καὶ τὴν ἀῤχὴν τῆς κινήσεως, τὸ δὲ θῆλυ, τὸ στῶμα, καὶ τὴν ὕλην. οἷον οὐ τῆ ζῶ γαλακτος τὴν ξις, τὸ μὲν στῶμα, τὸ γάλα ἐστὶν, ὁ δὲ ὀπὸς, ἢ ἡ πτύα, τὸ τὸ ἀῤχὴν ἔχον τὴν συνισῶσαν, οὕτω τὸ ἄῤῥενος οὐ



νος οὐ τῷ θῆλει μεριζόμενον. διὸ δ' αἰτίαν μερίζεται οὕθ' μὲν ἅς τὸ θῆλυ, οὕθ' δὲ ἅς ἐλάττω, οὐθ' δὲ μοναχῶς, ἕτερος ἔστω λόγος. ἀλλὰ διὰ τὸ μηδέν με διαφέρειν τῷ εἰδέναι. ἀλλ' ἐὰν μόνον σύμμετρον ἢ τὸ διαιρούμενον πρὸς τὸ ὕλην, μὴ μήτε ἐλάττων, ὡς τε μὴ πέττειν, μὴ δὲ σωνιστάναι, μήτε πολέων, ὡς τε ἐκρᾶναι, πολέα οὕτω γεννᾶται. ἐκ δὲ τὸ σωνιστάντος πρώτου, ἅῤῥ οὐδὲ ἤδη οὐ γίνεται μόνον. ὅτι μὲν οὖν τὸ θῆλυ ἅς τὸ γένεσιν, γονὴν μὲν οὐ συμβάλλεται, συμβάλλεται δέ πῃ, μὴ τί ἐστὶν ἢ τὸ κατα μηνίων σύστασις, μὴ ἡ ἀνάλογον οὖ τοῖς ἀναίμοις. ἔκπτε τὸ ἡρημούων θῆλυ, καὶ κατὰ τὸ λόγον κατὰ πολυ σκοπουμένοις. ἀναγκαῖον δὲ εἶναι τὸ γεννᾶν, μὴ ἅῤῥ οὖ. καὶ τὸ ὧν καὶ οὖ ἢ, τῷ γένῃ διαφέρειν, καὶ τῷ τὸ λόγον αὐτὸ εἶναι ἕτερον. ἐν δὲ τοῖς κεχωρισμένοις ἔχουσι τοῖς διωαμένοις, καὶ τὰ σώματα καὶ τὸ φύσιν, ἐτοίμαν εἶναι τὸ τε ποιοῦν ὡς, καὶ τὸ πάσχοντος. ἡ δὲ ὖλη τὸ ἄῤῥεν ἐστὶν ὡς κινοῦν, καὶ ποιοῦν, τὸ δὲ θῆλυ ὡς παθητικόν, ἅς τὸ ζῶ ἄῤῥενος κενὸν τὸ θῆλυ συμβάλλοιτο, οὐ γονὴν, ἀλλ' ὕλην. ὅπερ καὶ φαίνεται συμβαίνειν. κατὰ γὰρ τὴν πρώτην ὕλην, ἔστιν ἡ τῶν κατα μηνίων φύσις, καὶ περὶ μὲν ζῶν τῶν διωρίσθω τὸν τρόπον τοῦτον.

ἐῶ ἐκεῖνο λέγων. σημεῖον δὲ ὅτι οὐκ ἔστιν οὐ τοῖς κατα μηνίοις τὸ σπέρμα, καὶ ἅτ' οὐ τῷ αὐτῷ τῷ χρόνῳ τῆς ἡλικίας, ζοῖς τε ἄῤῥεσι γίνεται ἡ γονὴ, καὶ ταῖς γυναιξὶ τὸ κατα μήνιον, καὶ ἅμα διίστανται καὶ ἐπίδυσιν λαμβανόντων, καὶ ἐκ ζοῖς, καὶ ἐκείναις τὸ τόπων τὸ διεχομένων τὰ κατα μήνια, καὶ τὸ γονίμ. μελλόντων δὲ διίστασθαι τὸ τόπων, ἀνοιδοῦσιν αὐζοὶ οἱ τόποι ὑπὸ τὸ γεννομένου οὐ αὐτοῖς πνεύματος, καὶ τοῖς μὲν ἄῤῥεσιν ἀνοιδοῦσιν τότε, καὶ μείζως γίνονται οἱ ὄρχεις, ζοῖς δὲ θήλεσι τὰ αἰδοῖα, ὁμοίως δὲ καὶ οἱ μαστοὶ, ἀλλὰ τὸ μὲν ἀνδρῶν οἱ μαστοὶ, ὀλίγον, τὸ δὲ θηλειῶν, μᾶλλον, καὶ πεῖ μὲν ζοὺς τῶν οὕτως. οὐ δὲ τοῖς φυτοῖς οὐ οἷς μὴ κεχώρισται τὸ ἄῤῥεν τὸ θήλεος ἐκ ζούτοις τὸ σπέρμα οἷον κύημα ἐστὶ, καί πῃ ἐστὶ τὸ κύημα λέγει, ὅτι τὸ πρῶτον μίγμα ἐκ θήλεος καὶ ἄῤῥενος. εἰ πε δὲ αὖ τὸ πρῶτον μίγμα, διότι καὶ μετὸ τὸ ζούτων μίξιν ἀστέρχονταί τινες αἵματι καὶ ὑγρότητες οὐ τῷ κύηματι, καὶ ἐμμίγνυντες αὖ τῷ μέχρις ἂν ζῶον γένηται, ἀλλὰ πᾶσαι αὗτες ὡς ζοφὴ ἅστέρχοντος τὸ πρώτου μιχθέντος, λέγω δὲ τὸ κύημα ζῶ. ἔχει δὲ τὸ τὸ θρεπτικὸν ψυχὴν, ὡς διείρει οὐ τῷ ἐφεξῆς βιβλίῳ. ἐστὶ δὴν φησὶ τὸ κύημα, ἀτελὲς ζῶον, ζῶον μὲν, ἢ, οὐ φσὶν οὐ αὖ τῷ τὸ ἅῤῥ ὁσῶν ἤδη τὸ ζῶον γενήσεται, ἀτελὲς δὲ, ὅτι οὔπω ἅῤῥῶται, καὶ διὰ τὸ εἶναι τὸ κύημα ἤδη ζῶον, τὸ δὲ οὐ ζῶον πολλὰ ζῶα γενέσθαι οὐ διύνατο. οὐ στῶμα ἅῤῥ οὐδὲ γίνεται σπέρματος, οἷον ἅῤῥ οὐδὲ πυροῦ, καὶ οὐδὲ σπέρματος ἐῆς πυθμήν. λέγων οὖν ὅτι πυθμήν, τὸ μείζονα ἐίζαν ἢπερ πρώτη γίνεται, ἅῤῥ αὖ τῆς δὲ ὥσπερ ἀπὸ πινὸς πωγῆς. ἄλλαι μικραὶ ἐίζαι, καὶ ἀναλογεῖ ὁ μὲν πυθμὴν, καὶ ἡ πρώτη ἐίζα, κεφαλῇ, αἱ δ' ἀπ' αὐτῆς φύσαι, θριξίν. ὀφείλων δὲ ἤπειν ὅτι οὐδὲ κυήματος, (ὁ δ' πυρὸς κυήματι ἔοικεν), οὐ γίνεται στῶμα, οἷον ἅῤῥ οὐδὲ πυροῦ. ἅς πυθμὴν, εἶπεν ὅτι ἅῤῥ οὐδὲ σπέρματος οὐ γίνεται στῶμα, ἀνῆλθε δηλῶσαι τῇ συνηθείᾳ, σύνηθες δ' τοῖς πολλοῖς, καὶ σχεδὸν πᾶσι, τ' οὐ τῇ αὐλακι ῥιπτόμενον σῖτον σπέρμα λέγειν, ἀλλ' οὐ κύημα. γίνεται οὖν ἐκ ζοῦ οὐδὲ σπέρματος καὶ κυήματος, ἐῆς πυθμὴν, ὥσπερ καὶ ἅῤῥ οὐδὲ ὠᾶ, (καὶ δ' καὶ τὸ ὠὸν κύημα ἐστὶ, ) οὐ ζῶον. τὰ γὰρ δίδυμα τὰ ὠᾶν, ἴουτέσι τὸ γὰρ ὠὸν ἀ' φ' οὗ δύο γίνονται νεοσσοὶ, δίδυμον, καὶ δύο ὠᾶ ἐστὶ. ὅτι δὲ καὶ τὸ ὠὸν μίγμα ἐστὶ θήλεος καὶ ἄῤῥενος, καὶ ὅλως κύημα, δῆλον. οὐ μόνον γὰρ ὑπὸ τὸ ὀρνίθων θερμαινόμενα τὰ ὠὰ ζωογονεῖται, ἀλλὰ κἂν ἅς κόπρον, ἢ ἄλμ' τι θερμότατον κατορύξῃ τις αὐτὰ, ὥς τε

μυία, καὶ ἔξω οὐ προίεντες πολλὰ τῶν πολεσσων γυναικῶν. οὐ προίον ται δὲ ἔξω, διὰ τὴν ὀλιγότητα, ζο σεῦται γὰρ γίνεται ζοῖς ἡρμένοις πεζαπόσι, καὶ πισὶ τ γυναικῶν, ὅσα ἱκμαὰ ἅσι μόνον ἅς τ γένεσιν. πολλὰ δ' λέγει τοῖς γυναιξὶ πρὸς τ τ σώματος ἀναλογίαν, καὶ τὸ μέγεθος βραχὺ ὂν γίνεσθαι τὰ κατα μήνια, καὶ ζοῖς αἱρεσι τὸ σπέρμα, καὶ λέγει τ αἰτίαν, διὴν ἡμεῖς τε τὴν σπερματικὴν περίπασιν πολέσιν, καὶ αἱ γυναῖκες τ τ κατα μηνίων προίεμον, τὸ δ' πεζαπόδων ὀλίγιν. φησὶ δὴν ὅτι ἐπὶ τ πεζαπόδων, οὐ γίνεται πολέσι διὰ τὸ ζέπεσθαι ζοῦ τὴν τ περίπασιν ἅς ζοφὴν, καὶ σύξεσιν, κεράτων, ὀπλῶν, χαυλιοδόντων, καὶ ζιχῶν, οἱ δ' ἄνοι μηδὲν τι τούτων ἐχοντες, δύλ' ὅτως πολλὴ ποιοῦνται ζοῦτην τ ἀπόκρισιν. ἀπὸ πῶν δὲ, ὅτι οὐ ζοῖς κατα μηνίοις ἔνεστι τὸ σπέρμα ὥσπερ καὶ οὐ τοῖς κατα μηνίοις τοῖς μήπω διηῆμοι οἷς ἢ ζοφὴ, ἀλλὰ διῆκε βράσιας, καὶ μετοξὺ τὰ προστεχῶς ῥηθέντος ἐμπεμβαλὼν, πάλιν ἀνέσβαμον

τὸ γὰρ ᾠὸν ἐστὶ κύημα. ἡ δ᾽ ἀπὸ τῆς κόπρου θερμότης ἀναλογεῖ τῇ τῆς μήτρας ἐπὶ τῶν ζῳοτοκούντων θερμότητι. μετὰ ταῦτα λέγει, ὅτι, ἐν ὅσοις τῶν γενῶν οἷον τοῖς ζῴοις διώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν, ἐν τούτοις ἐνδέχεται ἀφ᾽ ἑνὸς σπέρματος πολλὰ γενέσθαι ζῷα, οὐ γάρ ἐστι τὸ σπέρμα τούτων κύημα, ὥσπερ τὸ τῶν φυτῶν, ἀλλὰ διαφέρει. σημεῖον δέ, ὅτι τό τε τῶν φυτῶν σπέρμα διαφέρει πρὸς τὸ τῶν ζῴων, τὸ δύνασθαι ἀπὸ μὲν ἑνὸς σπέρματος ζῴου πολλὰ γενέσθαι ζῷα, καὶ ὥσπερ καὶ ἀπὸ ἑνὸς ἀνδριαντοποιοῦ, πολλοὺς ἀνδριάντας, ἀπὸ ἑνὸς δὲ κυήματος, πολλὰ γενέσθαι μὴ δύνασθαι, διὰ τὸ ἤδη ζῷον εἶναι τὸ κύημα, ὁμοίως δὲ καὶ τὸ τῶν φυτῶν, ἤδη φυτόν. ἐπεὶ δὲ ἀπὸ μιᾶς ὀχείας γίνεται πολλὰ ζῷα, τεκμήριον καὶ τοῦτο ἄλλο τὸν τοῦ μὴ ἀπὸ παντὸς τοῦ σώματος πάντα ἀπέρχεσθαι, εἰ γὰρ ἀπὸ παντὸς πάντα ἀπήρχετο, συνέβαινεν ἂν ὁ σῦς ἡνίκα τέκῃ ὗς πέντε δελφάκια, πέντε μὲν ἀπέρχεσθαι ἀπὸ τῆς κεφαλῆς κεφαλάς, πέντε δὲ πόδας ἀφ᾽ ἑκάστου τῶν ποδῶν, καὶ ἀπὸ τῶν ἄλλων μορίων ὁμοίως, ἀλλ᾽ ἀδύνατον. οὔτε γὰρ κεχωρισμέναι εὐθὺς ἀπ᾽ ἀλλήλων ἀποκρίνονται αἱ πέντε κεφαλαί, καὶ τὰ ἄλλα ὁμοίως, πῶς γὰρ ἂν κεχωρισμέναι εἴησαν ἀπὸ ἑνὸς καὶ τοῦ αὐτοῦ μέρους ἀποκριθεῖσαι; μᾶλλον μὲν γὰρ ἀναγκαῖον ἡνωμένας εἶναι, οὔτε ἅμα, καὶ ἁπτόμεναι ἀλλήλων, ἢ συνεχεῖς οὖσαι, εἰς τὰς ὑστέρας ἡ δύναται ἀποκρίνεσθαι καὶ χωρίζεσθαι ἀπ᾽ ἀλλήλων, δι᾽ ἃς εἶπε πρότερον αἰτίας, εὐλόγως δὲ συμβαίνει καὶ τὸ ἀπὸ μιᾶς ὀχείας πολλὰ γίνεσθαι ζῷα, διὰ τό, τὸ μὲν ἄρρεν, παρέχειν τὸ εἶδος καὶ τὸ ποιητικὸν αἴτιον, τὸ δὲ θῆλυ, τὴν ὕλην. ὥσπερ γὰρ ἡ αὐτὴ καὶ μία πυετία, εἰς διάφορον γάλα μερισθεῖσα πάνυ πήγνυσι, καὶ συνίστησιν, οὕτω καὶ τὸ αὐτὸ καὶ ἓν σπέρμα εἰς πλείονα μερισθὲν καταμήνια, συνίστησιν ἅπαντα συμμέτρως ἔχοντα. δι᾽ ἣν δ᾽ αἰτίαν ἐν ἄλλοις μὲν οἷον κυσί, καὶ ὅλως ἐν πᾶσι τοῖς πολυτόκοις, εἰς πλείω μερίζεται τὸ σπέρμα, ἐν ἄλλοις δὲ εἰς ἕν, ἐρεῖ ἐν τῇ παρούσῃ πραγματείᾳ. ὅπερ δὲ ἐλέγομεν διὰ τὸ μὴ διαφέρειν τῷ εἴδει, ἂν μόνον σύμμετρον ᾖ τὸ διαιρούμενον, πρὸς τὴν ὕλην, καὶ μήτε ἔλαττον ὥστε μὴ πέττειν, μὴ δὲ συνιστάναι, μήτε πλεῖον ὥστε ξηραίνειν, (ξηραίνει γὰρ διά τε ἐν αὐτῷ θερμότητος οὔσης, καὶ διαταμίζει τὰ καταμήνια εἰ πλέον εἴη). εἰ δὲ μήτε πλέον εἴη, μήτε ἔλαττον, γεννᾶται πλείω, καὶ ἀπὸ μὲν τοῦ ἑνὸς καταμηνίου, καὶ τοῦ ἑνὸς σπέρματος, εἰ ἔχουσι πρὸς ἄλληλα (ὥσπερ εἴρηται,) γεννᾶται πλείω. ἀπὸ δὲ τοῦ συνισταντος πρώτου, τουτέστιν ἀπὸ δὲ τοῦ πρῶτον συσταθέντος, λέγων συνεστηκὸς πρῶτον τὸ κύημα, ἀπὸ δὴ τοῦ τοιούτου ἑνός, ἓν γίνεται μόνον ζῷον, ἤδη γὰρ ζῷον ἐστὶ τὸ κύημα, ἐν δὲ ζῷον πλείω ζῷα γενέσθαι, οὐ δύναται, καὶ συμπεραίνεται λέγων, δῆλον εἶναι ἐκ τῶν εἰρημένων τί ποτέ ἐστιν ὃ συμβάλλεται τὸ θῆλυ εἰς τὴν γονήν, δῆλον οὖν φησι ἐκ τῶν εἰρημένων, καὶ ἐκ τοῦ λόγου, καὶ καθόλου λέγων λόγον καὶ καθόλου, τὴν ἀπόδειξιν, αἱ γὰρ ἀποδείξεις ἐκ τῶν καθόλου. καίτοι εἶπε καὶ πρότερον ἀποδείξεις τούτου, καὶ νῦν λέγει, καὶ πάλιν ἐρεῖ, καὶ τίς ὁ καθόλου λόγος, ἐπάγει, ἀνάγκη γὰρ εἶναι τὸ γεννῶν καὶ ἐξ οὗ, τουτέστι τὸ θῆλυ. καὶ εἰ ταῦτα τὸ ἄρρεν, καὶ θῆλυ, ἂν καὶ ἐν ἑνὶ τῷ ὑποκειμένῳ ὡς ἐπὶ τοῦ σπέρματος τῶν φυτῶν, ἀλλὰ τῷ εἴδει διαφέρει, καὶ τῷ τὸν λόγον αὐτῶν εἶναι ἕτερον. ἐν μὲν οὖν τοῖς τοιούτοις, τὸ μὲν σῶμα καὶ τὸ ὑποκείμενον, τὸ αὐτὸ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, ὁ λόγος δὲ ἕτερος, ἐν δὲ τοῖς ζῴοις, καὶ τὰ σώματα, καὶ αἱ φύσεις ἕτεραι. λέγει δὲ καὶ ὅτι ἡ φύσις τῶν καταμηνίων κατὰ τὴν πρώτην ἐστὶν ὕλην, λέγων πρώτην ὕλην ὑφ᾽ ἧς καὶ τοῦ σπέρματος ἐστὶ τὸ κύημα, αἱ γὰρ ἄλλαι ὗλαι, ὕστεραι εἰσὶ τούτου.

Ἅμα δ᾽ ἐκ τούτων φανερὸν, περὶ ὧν ἐχόμενόν ἐστιν σκέψασθαι, πῶς ποτε συμβάλλεται εἰς τὴν γένεσιν τὸ ἄρρεν, καὶ πῶς αἴτιόν ἐστι τοῦ γινομένου τὸ σπέρμα τὸ ἀπὸ τοῦ ἄρρενος, πότερον ὡς ἐνυπάρχον, καὶ μόριον ὂν εὐθὺς τοῦ γιγνομένου σώματος, μιγνύμενον τῇ ὕλῃ τῇ περὶ τοῦ θήλεος, ἢ τὸ μὲν σῶμα οὐδὲν κοινωνεῖ τοῦ σπέρματος, ἡ δ᾽ ἐν αὐτῷ κίνησις, καὶ δύναμις, αὕτη μὲν γάρ ἐστιν ἡ ποιοῦσα. τὸ δὲ συνιστάμενον, καὶ λαμβάνον τὴν ἀρχὴν τὸ τοῦ ἐν τῷ θήλει περιττώματος λοιπόν. κατά γε δὴ τὸν λόγον οὕτω φαίνεται, καὶ ἐπὶ τῶν ἔργων.



τῶν ἔργων. καθόλου τε γὰρ ἐπισκοποῦσιν, οὐ φαίνεται γιγνόμενον ἓν ἐκ τοῦ πάσχοντος, καὶ τοῦ ποιοῦντος, ὡς ἐνυπάρχοντος ἐν τῷ γινομένῳ τοῦ ποιοῦντος. οὐδ᾽ ὅλως δή, ἐκ τοῦ κινουμένου, καὶ κινοῦντος. ἀλλὰ μὴν τό γε θῆλυ ᾗ θῆλυ, παθητικόν, τὸ δὲ ἄρρεν ᾗ ἄρρεν, ποιητικόν, καὶ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. ὥστε, ἂν ληφθῇ τὰ ἄκρα ἑκατέρων, ᾗ τὸ μέν, ποιητικὸν καὶ κινοῦν, τὸ δέ, παθητικόν, καὶ κινούμενον, οὐκ ἔστιν ἐκ τούτων τὸ γιγνόμενον ἕν, ἀλλ᾽ ἢ οὕτως ὡς ἐκ τοῦ τέκτονος, καὶ ξύλου, ἡ κλίνη. ἢ ὡς ἐκ τοῦ κηροῦ, καὶ τοῦ εἴδους ἡ σφαῖρα. δῆλον ἄρα, ὅτι οὐκ ἀνάγκη ἀποκρίνεσθαί τι ἀπὸ τοῦ ἄρρενος. οὐδ᾽ εἰ παρέχεται, διὰ τοῦτο ἐκ τούτου ὡς ἐνυπάρχοντος, τὸ γιγνόμενόν ἐστιν, ἀλλ᾽ ὡς ἐκ κινήσαντος, καὶ τοῦ εἴδους. καὶ ἀπὸ τῆς ἰατρικῆς ὁ ὑγιασθείς. συμβαίνει δ᾽ ὁμολογούμενα τῷ λόγῳ, καὶ ἐπὶ τῶν ἔργων. διὰ τοῦτο γὰρ ἔνια τῶν ἀρρένων, καὶ συνδυαζομένων τοῖς θήλεσιν, οὐδὲ μόριον οὐθὲν φαίνεται προϊέμενον εἰς τὸ θῆλυ, ἀλλὰ τοὐναντίον, τὸ θῆλυ εἰς τὸ ἄρρεν, ὃ συμβαίνει ἐν ἐνίοις τῶν ἐντόμων. ὃ γὰρ ἐν τοῖς προϊεμένοις, ἀπεργάζεται τὸ σπέρμα ἐν τῷ θήλει, τοῦτο ἐν τῷ ζῴῳ αὐτῷ ἡ θερμότης, καὶ δύναμις, εἰσφέροντος τοῦ θήλεος τὸ δεκτικὸν τοῦ σπέρματος. ὅθεν καὶ διὰ τοῦτο τὰ τοιαῦτα τῶν ζῴων συμπλέκεται μὲν πολὺν χρόνον, διαλυθέντα δέ, γεννᾷ ταχέως. συνδεδύασται μὲν οὖν μέχρις ἂν συστῇ ὥσπερ ἡ γονή, διαλυθέντος δὲ προΐεται τὸ κύημα ταχέως. γεννᾷ γὰρ ἀτελές. σκωληκοτοκεῖ γὰρ πάντα τὰ τοιαῦτα. μέγιστον δὲ σημεῖον τὸ συμβαῖνον περὶ τοὺς ὄρνιθας, καὶ τὸ τῶν ἰχθύων γένος τῶν ᾠοτόκων, τοῦ μήτε ἀπὸ πάντων εἶναι τὸ σπέρμα τῶν μορίων. μήτε προΐεσθαι τὸ ἄρρεν τι μόριον τοιοῦτον, ὃ ἔσται ἐνυπάρχον τῷ γεννηθέντι, ἀλλὰ μόνον τῇ δυνάμει τῇ ἐν τῇ γονῇ ζωοποιεῖν, ὥσπερ εἴπομεν ἐπὶ τῶν ἐντόμων, ἐν οἷς τὸ θῆλυ προΐεται εἰς τὸ ἄρρεν.

Πρὸ τῆς τῶν λέξεων σαφηνείας, ἄξιόν ἐστιν ἡμᾶς ὑπομνησθῆναι, ὅτι μόριον, καὶ ἐνυπάρχον τῷ γινομένῳ σώματι, καὶ ἐνταῦθα καὶ ἐν τῷ δέλτα τῆς μετὰ τὰ φυσικὰ πραγματείας, τὴν ὕλην λέγει, οἷον τοῦ μὲν ἀνδριάντος, μόριον καὶ ἐνυπάρχον ὁ χαλκός, τῆς δὲ κλίνης τὸ ξύλον, τοῦ δὲ ζῴου τὸ καταμήνιον, ζῴου δὲ λέγω τοῦ γινομένου, καὶ μήπω ὄντος, τοῦ γὰρ ὄντος, μόριά εἰσιν, σάρκες, ὀστᾶ, νεῦρα, καὶ τὰ λοιπά. σῶμα δὲ λέγει τὸ ἐξ ἀμφοῖν, τὸ ἐξ ὕλης καὶ εἴδους, οἷον τόνδε τὸν ἀνδριάντα, καὶ τήνδε τὴν κλίνην, καὶ τόδε τὸ ζῷον. τούτων οὕτω ὑπομνησθέντων ἐπειδὴ ἔδειξεν ὅτι τὸ μὲν σπέρμα ποιητικόν ἐστι, τὸ δὲ καταμήνιον ὑλικόν, λέγει φανερὸν εἶναι πῶς ποτε συμβάλλεται εἰς τὴν γένεσιν τὸ ἄρρεν, καὶ τοῦτο θεὶς ἐρωτᾷ. πότερον τὸ σπέρμα μιγνύμενον τῇ ὕλῃ τῇ παρὰ τοῦ θήλεος, ἐνυπάρχει, καὶ μόριον εὐθὺς γίνεται τοῦ γινομένου, τουτέστιν ὕλη καὶ αὐτὸ γίνεται τοῦ γινομένου, ὥσπερ καὶ τὸ καταμήνιον; καὶ ἐρωτήσας, ἀποκρίνεται λύων τὴν ἀπορίαν, καὶ φησί. ἢ τὸ μὲν σῶμα τοῦ σπέρματος, ἤτοι ἢ τὸ μὲν σπέρμα, οὐδὲν κοινωνεῖ, οὐδὲ μέρος γίνεται, καὶ ὕλη, ἀλλ᾽ ἢ ἔξεισιν, ἢ ἀποτμίζει, ὡς ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ. ἡ δ᾽ ἐν αὐτῷ δύναμις αὕτη γάρ ἐστιν ἡ κινοῦσα καὶ εἰδοποιοῦσα, τὸ δὲ λοιπὸν τὸ εἰδοποιούμενον, καὶ λαμβάνον τὴν μορφήν, ἐστὶ τὸ τοῦ θήλεος περίττωμα. ἰστέον δέ, (ὡς καὶ αὐτὸς ἐρεῖ ἐν τῷ δευτέρῳ βιβλίῳ) ὅτι τὸ σπέρμα εἰσελθὸν ἐν τῇ ὑστέρᾳ, καὶ ἀναμιχθὲν μετὰ τοῦ καταμηνίου, ἑπτὰ ποιεῖ ἡμέρας, ἕως ἂν ἡ ἐν αὐτῷ ποιητικὴ δύναμις χωρισθεῖσα ἀπ᾽ αὐτοῦ, ἐμμιχθείη τῷ καταμηνίῳ, εἶθ᾽ οὕτως, μετὰ ἑβδόμην, ἢ ἔξεισιν, ἢ διαλύεται εἰς πνεῦμα, ὅτι δὲ διὰ τοῦ αἰδοίου, μετὰ τὴν ἑβδόμην ἔξεισι θύραζε ὦπται ἱκανῶς. ἐπειδὴ γὰρ ποιότης τις, καὶ ἕξις ἐστὶν ἡ ἐν τῷ σπέρματι ποιητικὴ δύναμις, (οὐδὲν δὲ ποιόν, οὐδὲ ἕξις δύναται καθ᾽ αὑτὸ εἶναι χωρὶς ὑποκειμένου τινός,) ἐναποτίθησιν ἡ φύσις τὴν τοιαύτην δύναμιν ἐν τῷ τοῦ σπέρματος σώματι, ὥσπερ ἐν ὀχήματι, καὶ διὰ τοῦτο ὡς δι᾽ ὀργάνου τινός, καὶ ὀχήματος, ἐναφίησι τὴν τοιαύτην δύναμιν, εἰς τὸ θῆλυ. ἐν τούτῳ δὲ εἰσελθὸν, καὶ παθὲν, εἰς τὸ καταμήνιον αὐτοῦ, ἢ ἔξεισι θύραζε, ἢ διαλύεται εἰς πνεῦμα. ὥστε, τῷ μὲν σπέρματι χρῆται ἡ φύσις ὡς ὀργάνῳ, ἣν δὲ ἐν αὐτῷ ἀποτίθησι, δύναμιν, ὡς ποιητικῷ. εἰ δὴ πᾶν ὑλικὸν αἴτιον ὑπομένει, καὶ μόριον γίνεται τοῦ γινομένου, τὸ δὲ σπέρμα οὐχ ὑπομένει, δῆλον ὅτι οὐκ ἔστι μόριον τοῦ γινομένου σώματος, καὶ ταῦτα μὲν οὕτω. εἰπὼν δὲ ὅτι ἐκ τῶν εἰρημένων, καὶ ἐκ τοῦ λόγου δῆλον περὶ τῶν εἰρημένων πῶς ἔχον-

τι, καὶ ἄτοπον τὰ ἐκ τοῦ λόγου, ἐπήγαγεν, οὐ μόνον γὰρ κατὰ τὸν λόγον οὔπω φαίνεται, ἀλλὰ καὶ ἀπὸ τῶν γινομένων ἔργων. καθόλου γὰρ ἐπισκοποῦσιν οὐδέν τι φαίνεται ἐκ τῆς ὕλης γινόμενον, ταύτην γὰρ εἶπε εἶναι τοῦ παθητικοῦ καὶ οὐ τοῦ ποιοῦντος, ἤτοι τοῦ ὀργάνου, ὡς σώματος, καὶ ὄγκου, ἐμμιγνυμένου τῇ ὕλῃ. οὐδὲν οὖν φαίνεται τι οὕτω γινόμενον, οὐ γὰρ μίγνυται ὁ πρίων τῷ ξύλῳ, καὶ ἀποτελεῖ τὴν κλίνην, οὔτε μὴν ἡ χεὶρ τοῦ ἀνδριαντοποιοῦ τῷ χαλκῷ, καὶ γεννᾶται ὁ ἀνδριάς, ἀλλ' ὁ χαλκὸς μετὰ τῆς ἀπὸ τῆς χειρὸς ἐν αὐτῷ διδομένης ἐνεργείας, καὶ τοιασδὴ κινήσεως ἥτις τοιάδε κίνησις, καὶ ἐνέργεια ἐστὶ τὸ τοῦ ἀνδριάντος εἶδος. οὕτως οὖν οὐδὲ τὸ σπέρμα, (ὄργανον γὰρ,) μετὰ τοῦ καταμηνίου ἐμμίγνυται, ἀλλ' ἡ ἐν τῷ σπέρματι δύναμις, ἣν (ὡς ἐν τῷ ἐφεξῆς ὄψει βιβλίῳ) θερμότητα φαμὲν, ἀνάλογον τῇ ἀπὸ τοῦ ἡλίου καὶ τῶν ἄλλων ἀστέρων θερμότητι. γίνεται γὰρ ἐκ τῆς τοῦ ἡλίου θερμότητος, ζῷα, οἷον σκώληκες, καὶ ἄλλα πολλά. θῆλυ δὲ, ἢ θῆλυ, καὶ παθητικὸν λέγει, τὴν ἀπὸ τοῦ θήλεος διδομένην ὕλην, αὐτὸ δὴ τὸ καταμήνιον ἢ τὸ ἀνάλογον, ἄρρεν δὲ, ἢ ἄρρεν καὶ ποιητικὸν, τὸ σπέρμα καὶ τὴν ἐν αὐτῷ ποιητικὴν δύναμιν, ἤτοι τὴν ἀνάλογον τῇ τοῦ ἡλίου θερμότητος. ἥτις δύναμις τοιῶσδε κινοῦσά τε, καὶ ἀλλοιοῦσα τὸ καταμήνιον, σχηματίζει κατὰ τοὺς ἐνόντας αὐτῷ λόγους. ἐπεὶ οὖν τὸ θῆλυ ἢ θῆλυ, παθητικὸν, καὶ τὸ ἄρρεν ἢ ἄρρεν ποιητικὸν, οὐ γὰρ καθὸ ζῷα, (πολλὰ γὰρ τῶν ζώων οὐ γεννᾷ.) ἂν ληφθῇ τὰ ἄκρα, καὶ ἡ ἐναντίωσις τοῦ ἄρρενος καὶ τοῦ θήλεος, καθὰ τὰ ἄκρα ἠναντίωται, ταῦτα δ' ἐστὶ τὸ ποιητικὸν, καὶ παθητικὸν, οὐκ ἔστι τὸ γινόμενον ἐκ τούτων τουτέστι τοῦ καταμηνίου καὶ τοῦ σπέρματος, ἓν, οὐ γὰρ ποιητικὸν τὸ σπέρμα ἀλλ' ὄργανον, οὐκ ἔστιν οὖν τὸ ἐκ τούτων γινόμενον ἓν, ἀλλ' ἐκεῖνο ἔσται ἓν τὸ ἐκ τοῦ καταμηνίου καὶ τῆς ἐν τῷ σπέρματι φύσεώς τε, καὶ δυνάμεως. τέκτονα δὲ λέγει, τὴν τεκτονικὴν, ἤτοι τὸ ἀπὸ τῆς τεκτονικῆς ἐν τῷ ξύλῳ γεγονὸς τοιόνδε σχῆμα, καὶ ὅτι κλίνην, τὸ ἀπὸ τῆς τεκτονικῆς δημιουργηθὲν εἶδος εἶπεν, ἐδήλωσε διὰ τοῦ, ἢ ὡς ἐκ τοῦ κηροῦ καὶ τοῦ εἴδους ἡ σφαῖρα.

Ὑπηνέμια λέγεται ᾠά, ἃ γεννῶσιν αἱ ὄρνιθες μὴ ὀχευθεῖσαι, τῶν δ' ἀλεκτρυόνων μηδὲν ὅλως ὀχευσάντων αὐτὰς, γεννῶσιν ᾠὰ, ἃ καλεῖται ὑπηνέμια. ὑπηνέμια οὖν ἐστι τὰ χωρὶς τοῦ τῶν ἀρρένων σπέρματος γινόμενα, διὸ καὶ οὐ γίνεται ἐξ αὐτῶν ζῷα. κύειν δὲ λέγει, τὸ ἔτι ἐν τῇ γαστρὶ φέρειν, καὶ ἔχειν τὸ κύημα. ὠχρὸν δὲ ᾠοῦ τὸ ἐνδοτάτω πάντων κείμενον, οἷον, ἵνα ἀπὸ τοῦ ἔξω μόνου ἄρξωμαι. πρῶτον μέν ἐστι τὸ ὁρώμενον κέλυφος, εἶτα ἐντὸς τούτου καὶ ἐφεξῆς, ὑμήν τις λεπτότατος, εἶτα ἐφεξῆς τοῦ ὑμένος λευκὸν, ὅπερ λευκὸν, γίνεται νεοττὸς ὡς διδαχθήσεται, εἶτα ἐφεξῆς τῷ λευκῷ τὸ ὠχρὸν, ῥέπον ἐπὶ τῶν εὐτραφῶν, καὶ λιπαρῶν ὀρνίθων ἐπὶ τὸ ἐρυθρότερον, ὅπερ ἐρυθρὸν, τροφὴ γίνεται τῷ νεοττῷ. ἰστέον δὲ ὅτι τὸ ὠχρὸν, πρῶτον μὲν αὔξεται, ἕως ἂν ἔλθῃ εἰς τὸ κατὰ φύσιν μέγεθος, εἶθ' οὕτως λευκαίνεται καὶ λευκαίνεται οὐ πᾶν, ἀλλά τι μέρος αὐτοῦ, κύκλῳ περιέχει τὸ

Ἐάν τε γὰρ ὑπηνέμια τύχῃ κύουσα ἡ ὄρνις, ἐὰν μετὰ ταῦτα ὀχεύηται μὴ μεταβεβληκότος τοῦ ᾠοῦ ἐκ τοῦ ὠχρὸν ὅλον εἶναι εἰς τὸ λευκαίνεσθαι, γόνιμα γίνεται ἀντὶ ὑπηνεμίων. ἐάν τε ὑφ' ἑτέρου ὠχευμένη, καὶ ἔτι ὠχροῦ ὄντος, κατὰ τὸν ὕστερον ὀχεύσαντα, τὸ γένος ἀποβαίνει πᾶν τὸ τῶν νεοττῶν. διὸ ἔνιοι τοῦτον τὸν τρόπον, τῶν περὶ τὰς ὄρνιθας τὰς γενναίας σπουδαζόντων ποιοῦσι, μεταβάλλοντες τὰ πρῶτα ὀχεῖα, καὶ τὰ ὕστερα, ὡς οὐ συμμιγνυμένου, καὶ ἐνυπάρχοντος. οὐδ' ἀπὸ παντὸς ἐλθὸν τὸ σπέρμα, ἀπ' ἀμφοῖν γὰρ ἂν ἦλθεν. ὥστε εἶχεν ἂν δὶς ταὐτὰ μέρη, ἀλλὰ τῇ δυνάμει τὸ τοῦ ἄρρενος σπέρμα τὴν ἐν τῷ θήλει ὕλην, καὶ τροφὴν ποιάν τινα κατασκευάζει. τοῦτο γὰρ ἐνδέχεται ποιῆσαι πρότερον ἐπεισελθὸν ἐκ τοῦ θερμᾶναι, καὶ πέψαι. λαμβάνει γὰρ τροφὴν τὸ ᾠὸν, ἕως ἂν αὐξάνηται. τὸ δ' αὐτὸ συμβαίνει καὶ περὶ τὴν τῶν ἰχθύων γένεσιν τῶν ᾠοτοκούντων. ὅταν γὰρ ἀποτέκῃ τὰ ᾠὰ ἡ θήλεια, ὁ ἄρρην ἐπιρραίνει τὸν θορόν, καὶ ὧν μὲν ἐφάψηται, γόνιμα ταῦτα γίνεται τὰ ᾠά. ὧν δ' ἂν μὴ, ἄγονα, ὡς οὐκ εἰς τὸ ποσὸν συμβαλλομένου τοῖς



ζῴοις τοῦ ἄρρενος, ἀλλ' εἰς τὸ ποιόν. ὅτι μὲν οὖν οὔτ' ἀπὸ παντὸς ἀπέρχεται τὸ σπέρμα τοῖς προϊεμένοις σπέρμα τῶν ζῴων, οὔτε τὸ θῆλυ πρὸς τὴν γένεσιν, οὕτω συμβάλλεται τοῖς συνισταμένοις ὡς τὸ ἄρρεν, ἀλλὰ τὸ μὲν ἄρρεν, ἀρχὴν κινήσεως, τὸ δὲ θῆλυ τὴν ὕλην, δῆλον ἐκ τῶν εἰρημένων, διὰ γὰρ τοῦτο, οὔτ' αὐτὸ καθ' αὑτὸ γεννᾷ τὸ θῆλυ, δεῖται γὰρ ἀρχῆς καὶ τοῦ κινήσαντος καὶ διοριοῦντος. ἀλλ' ἐνίοις γε τῶν ζῴων, οἷον τοῖς ὄρνισι μέχρι τινὸς ἡ φύσις δύναται γεννᾶν. αὗται γὰρ συνιστᾶσι μὲν, ἀτελῆ δὲ συνιστᾶσι τὰ καλούμενα ὑπηνέμια ᾠά. ἥ τε γένεσις ἐν τῷ θήλει συμβαίνει τῶν γινομένων, ἀλλ' οὐκ εἰς τὸ ἄρρεν, οὔτε αὐτὸ τὸ ἄρρεν προΐεται τὴν γονὴν, οὔτε τὸ θῆλυ, ἀλλ' ἄμφω εἰς τὸ θῆλυ συμβάλλονται τὸ παρ' αὐτῶν γιγνόμενον. διὰ τὸ ἐν τῷ θήλει εἶναι τὴν ὕλην ἐξ ἧς ἐστι τὸ δημιουργούμενον, καὶ δι' οὗ τὴν μὲν ἀθρόον ὑπάρχειν ἀναγκαῖον ἐξ ἧς συνίσταται τὸ κύημα τὸ πρῶτον, τὴν δ' ἐγγίνεσθαι ἀεὶ τῆς ὕλης. εἴπερ δύναται τὸ κυόμενον.

νάμονον πολείω συνεστάναι μεριζόμενον. τὸ δὲ θῆλυ ζοσοῦτον ὥστε πολείως γίνεσθαι συστάσεις. τὸ δ' ἐπὶ τοῦ χαλαστοῦ, παράδειγμα λεχθὲν, οὐχ ὅμοιόν ἐστιν. ἡ μὲν γὰρ ζοῦ ἀσέρματος θερμότης, οὐ μόνον συνίστησι ποσόν, ἀλλὰ καὶ ποιόν τι. ἡ δὲ οὐ τῷ ὁποσῷ καὶ τῇ ἀσυπεία, τὸ ποσὸν μόνον. ἔτι μὲν οὖν πολλὰ γίνεσθαι τὰ κυήματα καὶ μὴ συνεχῆ οὐ ἐκ πόντων οὐ τοῖς πολυτόκοις, ἔτ' ἐστὶν ἀπορον. ὅτι δ' ἐκ ἧς ὁποσωνοῦν γίνεται κύημα. ἀλλ' ἐάν τε ὀλίγον ᾖ, οὐκ ἔσαι. ἐάν τε πολὺ λίαν. ὥρισται γὰρ διωρισμένος καὶ ζοῦ πάσχοντος. καὶ τῆς θερμότητος τῆς ποιᾶσης. ὁμοίως δὲ καὶ οὐ τοῖς μονοτόκοις καὶ μεγάλοις τῶν ζῴων οὐ πολλὰ γίνεται ἐκπολλὰ περιπλώματος. καὶ γὰρ οὐ ἐκείνοις ἐκποσοῦτινος, ποσόν τι τὸ ὀργαζόμενόν ἐστιν. οὐ προΐεται μὴν οὕτω πολέως τοιαύτην ὕλην, διὰ τὴν προειρημένην αἰτίαν. ἵνα δὲ προΐεται, τοσαύτη κρᾶσιν φύσιν ἐστὶν, ἧς ἧς οὐ γίνεται κύημα μόνον. ἐὰν δέ ποτε πολεῖον ἔλθῃ, διπτικεῖ τότε. διὸ καὶ δοκεῖ τερατώδη τὰ τοιαῦτ' εἶναι μᾶλλον. ὅτι γίνεται παρὰ τὸ ὡς ἐπὶ πολὺ καὶ τὸ ἀεὶ ὡς. ὁ δὲ ἄνθρωπος ἐπαμφοτερίζει πᾶσι τοῖς γένεσι. καὶ γὰρ μονοτόκεῖ καὶ πολυτόκεῖ καὶ ὀλιγοτόκεῖ ποτε. μάλιστα δὲ μονοτόκον τὴν φύσιν ἐστί. διὰ μὲν τὴν ὑγρότητα τοῦ σώματος καὶ θερμότητα πολυτόκον. τοῦ γὰρ ἀσέρματος ἡ φύσις, ὑγρὰ καὶ θερμή. διὰ δὲ μέγεθος, ὀλογοτόκον. καὶ μονοτόκον. διὰ δὲ ζῆσιν καὶ τῆς κυήσεως χρόνους, μόνῳ τῶν ζῴων ἀνωμάλως εἶναι συμβέβυκε. ζῇς μὲν γὰρ ἄλλοις ἐστὶν ὁ χρόνος. ζῇς δ' ἄνθρωπος πολείους. καὶ γὰρ ἐπ' ἄμφω ἡ διεκάμιμα γεννῶντι καὶ κατὰ τοὺς μεταξὺ χρόνους. καὶ γὰρ τὰ ὀκτὼ μηνιαῖα μᾶλλον ἢ πλέον διέ. τὸ δ' αἴτιον, ἐκτῶν νῦν λεχθέντων σωίδοι τίς ἂν. εἴρηται δὲ περὶ αὐτῶν, οὐ τοῖς προβλήμασι. καὶ περὶ μὲν τούτων, διορίσθω ἡμῖν ζόπον ἔχειν.

Τῶν δὲ πολεοναζόντων μορίων παρὰ φύσιν, τὸ αὐτὸ αἴτιον ἡ τῆς διδυμοτοκίας. ἤδη γὰρ οὐ τοῖς κυήμασι συμβαίνει τὸ αἴτιον ἐὰν πολείω ὕλην συσήσῃ, ἢ κατὰ τὴν τοῦ μορίου φύσιν. τότε γὰρ συμβαίνει μὲν μόριον μεῖζον τῶν ἄλλων ἔχειν οἷον δάκτυλον ἢ χεῖρα ἢ πόδα. ἢ τι τῶν ἄλλων ἀκρωτηρίων

στου γὰρ ζῇς, καὶ οὐκέτι ἀόριστον. ὥστε, ἧς οὐ σὺ διέχεται πέντε γενέσθαι ζῷα, οὐ γενέσθαι, ἢ ἧς οὐ σὺ, πέντε. ἧ γὰρ ἧς οὐ ἦν διωαγὸν πέντε γενέσθαι σὺ ἐγένετο, λίαν ἂν ὡς μεγάλοι, καὶ ὑπερβαῖνον γὸν ἐπὶ τὸ μεῖζον ὅρον, ἀλλ' ἀδιώατον. εἴρηται γὰρ ὅτι ὡρίσται ἢ ἐπὶ τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον, ἑκάστου ζῴου μέγεθος, ἅπερ ὑπερβῆναι οὐ διωατόν. ὁμοίως δὲ, κἂν ἧ ἧς οὐ σὺ ἔμελε γενέσθαι πέντε ἐγγενέσεσιν, ὑπερέξει ἂν γὸν ἐπὶ τὸ ἔλαττον φυσικὸν ὅρον. ὅστε διὰ φύσιν τῶν ζῴων διὰ τὴν θερμότητα αἰτίαν, ζοντέστι διὰ τὸ εἶναι μικρὰ τῷ μεγέθει, πολέων προΐεται περίπλωμα παρ' ὅπερ ἧς οὐ ζῴου ἀρχήν, οὐκ οὖ διέχεται οὐ ἧς ζῴου γενέσθαι, ἀλλὰ τοσοῦτα, ὅσα τοῖς μεγέθεσιν ὥρισαι τοῖς ἱκνουμένοις. ἔστι δὲ τὸ ἱκνούμενον, ἴσον τῷ μέλλουσι γενέσθαι. ἔστι δὲ τὸ λεγόμενον, ἀλλὰ τοσοῦτα γενήσονται τοῖς μεγέθεσι, ἅδοι τῷ πολήθει, καὶ τῷ ἀριθμῷ, ὅσα διωατὸν ὡς γενέσθαι, ἢ οὐ τε ὑπέρβασις γενήσεται, τοῦ ἀριθμοῦ, οὔτε ἔμειψις. τὸ δὲ, οἷ διαφερουμένῳ τῷ ἀσέρματι, μιωυτικόν ἐστὶ οὗ πρὸ βραχέος ἡμεῖς ἐμνήσθημεν. ἐλέγομεν γὰρ, ὅτι ἡ πέντε γένηται ζῷα, τὸ ἀσέρμα καὶ τὸ κατὰ μιμίσιον ἧς πέντε διηρέθει. ἐπεισὴ δὲ ἡ ἀπορία ἐκπαραδείγματος τὸ ὁπου, ἢ τοῦ χαλαστοῦ προέβαινε, λέγει μηδὲν εἶναι τὸ παραδείγμα τοιοῦτον, οὐ διαφορὰν γὰρ ἔχει ὁμοιότητα εἴπερ ὁ μὲν ὁπὸς, τὸ ποσὸν μόνον συνέστησιν, ἡ δὲ γονὴ, καὶ τοῦτο καὶ τὸ ποιὸν, ἥδοι τὸ ζωογόνον εἶδος τοῦ ζῴου.

Πλεοναζόντων δὲ μορίων παρὰ φύσιν, ὅταν ἧς ἀδάκτυλος ἄνθρωπος γένηται, ἢ ζίπους, ἢ ἄλλον τινὰ τοιοῦτον ζῴον τόπον. λέγει δὴ ὅτι τὸ αὐτὸ καὶ ζῳ τοῖς, καὶ τῆς διδυμοζυίας ἐστὶ αἴτιον. ὥσπερ γὰρ ἐκεῖ, ἂν πολείω

ὕλην συστήσῃ, ἢ εἰς ἑνὸς ζώου συμπλήρωσιν, δίδυμα γίνεται, οὕτω καὶ ἐπὶ τούτων. ὅταν γὰρ ὕλην λάβῃ, εἰς δακτύλου φέρε εἰπεῖν τοῦ μικροῦ καλουμένου συμπλήρωσιν, αὕτη δὲ πλεῖον ἢ τῆς ἁρμοζούσης, τότε γίνεται ἄνθρωπος, ἔχων τὸν μικρὸν δάκτυλον, μείζονα τῶν ἄλλων δακτύλων. τὸ δ' αὐτὸ καὶ ἐπὶ χειρὸς, καὶ τῶν ἄλλων. ἂν μὲν οὖν μία μένῃ ἡ ληφθεῖσα ὕλη, γίνεται ὁ εἰρημένος δάκτυλος, μέγας. ἂν δὲ σχισθῇ, δύο ἀνθ' ἑνὸς, ὥστε συμβαίνει ἀντὶ πέντε ἓξ ἔχειν δακτύλους. ὁμοίως κἂν εἰ πλεῖον τῆς προσηκούσης ἐλήφθη ὕλη εἰς σύστασιν ἀριστερᾶς φέρε εἰπεῖν χειρὸς, εἰ μὲν οὖν μὴ διαιρεθῇ, γεννᾶται ἔχον τὴν ἀριστερὰν χεῖρα, μείζω κατὰ πολὺ τῆς δεξιᾶς, εἰ δὲ σχισθῇ, γίνεται τρίχειρ, δύο μὲν ἔχον ἀριστερὰς, μίαν δὲ δεξιάν. ἂν δὲ τὸ σῶμα τοῦ κυήματος σχισθῇ, γεννᾶται τέρας, ἔχον μίαν μὲν κεφαλὴν, δύο δὲ αὐχένας, καὶ πλευρὰς, δ', καὶ πόδας, δ'. ὥσπερ γὰρ ὁ εἷς ποταμὸς ὅταν ἀντικρούσῃ εἰς πέτραν εἰς δύο διαιρεῖται, εἷς ὢν τὸ ὑπέκεινα τῆς πέτρας, οὕτω καὶ ἐπὶ τούτων κεφαλὴ μὲν μία, ἀνάλογος οὖσα τῷ ὑπέκεινα τῆς πέτρας μέρει τοῦ ποταμοῦ, δύο δὲ τὰ λοιπὰ ἀναλογοῦσι ταῖς δυσὶν ὑπὸ τῆς πέτρας γεγενημέναις συστάσεσιν. οἱ δὲ πλεονάζοντες φησὶ δάκτυλοι, προσφύονται μὲν πολλάκις ἀλλήλοις, ἐνίοτε δὲ καὶ πόρρω, διὰ τὴν γινομένην ἐν τῷ κυήματι κίνησιν. οἷον ὡς ἐπὶ παραδείγματος, τοῦ μέρους τῆς χειρὸς ὃ καλεῖται καρπὸς, καὶ τῶν δ', δακτύλων. ἕλκει ἡ δακτυλοποιητικὴ δύναμις, ὕλην ἀπὸ τοῦ καρποῦ εἰς σύστασιν τῶν δακτύλων, πλείων δὲ οὖσα τῆς τῶν πέντε συστάσεως δακτύλων πεποίηκεν ἕξ, εἶτα ἡ τοῦ καρποῦ ποιητικὴ δύναμις, ἔνδειαν ἔχουσα ὕλης εἰς ἀναπλήρωσιν τοῦ καρποῦ,

ἢ μελῶν. ἢ σχισθέντος τοῦ κυήματος, πλείω γίνεσθαι, καθάπερ ἐν τοῖς ποταμοῖς αἱ δῖναι. καὶ γὰρ ἐν τούτοις τὸ φερόμενον ὑγρὸν καὶ κίνησιν ἔχον, ἂν ἀντικρούσῃ, δύο ἐξ ἑνὸς γίνονται συστάσεις, ἔχουσαι τὴν αὐτὴν κίνησιν. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν κυημάτων συμβαίνει. προσφύεται δὲ μάλιστα μὲν πλησίον ἀλλήλων. ἐνίοτε δὲ καὶ πόρρω, διὰ τὴν γιγνομένην ἐν τῷ κυήματι κίνησιν. μάλιστα δὲ διὰ τὴν τῆς ὕλης ὑπεροχήν. ὅθεν ἀφαιρεθῇ, ἐκεῖ ἀποδιδόναι. τὸ δὲ εἶδος ἔχειν, ὅθεν ἐπλεόνασεν. ὅσα δὲ συμβαίνει τοιαῦτα ὥστε δύο ἔχειν αἰδοῖα. τὸ μὲν ἄρρενος τὸ δὲ θήλεος, ἀεὶ τὸ μὲν κύριον τῶν πλεοναζόντων γίνεται, τὸ δὲ ἄκυρον, καὶ κατὰ τὴν τροφὴν ἀεὶ ἀμαυροῦται, ἅτε παρὰ φύσιν ὄν. προσπέφυκε δὲ ὥσπερ τὰ φύματα. καὶ γὰρ ταῦτα λαμβάνει τροφὴν καίπερ ὄντα ὑστερογενῆ καὶ παρὰ φύσιν. γίνεται δὲ κρατήσαντος μὲν τοῦ δημιουργοῦντος, ὅμοια δύο. καὶ κρατηθέντος ὅλως. ἂν δὲ τῇ μὲν κρατήσῃ τῇ δὲ κρατηθῇ, τὸ μὲν θῆλυ. τὸ δὲ ἄρρεν. οὐδὲν γὰρ διαφέρει τοῦ τε λέγειν ἐπὶ τῶν μορίων ἢ ἐπὶ τοῦ ὅλου, δι' ἣν αἰτίαν γίνεται τὸ μὲν, θῆλυ. τὸ δὲ, ἄρρεν. ὅσα δ' ἐλλείποντα γίνεται τῶν τοιούτων μορίων, οἷον ἀκρωτηρίου τινὸς ἢ τῶν ἄλλων μελῶν, τὴν αὐτὴν δεῖ νομίζειν αἰτίαν, ἥνπερ καὶ ἂν ὅλον τὸ γινόμενον ἀμβλωθῇ. ἀμβλώσεις δὲ γίνονται πολλαὶ τῶν κυημάτων. διαφέρουσι δ' αἱ μὲν παραφύσεις τῶν κυημάτων, τῆς πολυτοκίας, τὸν εἰρημένον τρόπον. τὰ δὲ τέρατα τούτων, τῷ πολλῶν εἶναι αὐτὰ σύμφυσιν. ἔνια δὲ καὶ τοῦτον τὸν τρόπον. ἐὰν ἐπὶ μειζόνων γένηται καὶ κυριωτέρων μορίων. οἷον ἔνια ἔχει δύο σπλῆνας, καὶ πλείους νεφρούς. ἔτι δ' αἱ μεταστάσεις τῶν μορίων, παρατρεπομένων τῶν κινήσεων εἰσὶ καὶ τῆς ὕλης μεθισταμένης. ἓν δὲ εἶναι τὸ ζῷον τὸ τερατῶδες, ἢ πλείω συμπεφυκότα δεῖ νομίζειν κατὰ τὴν ἀρχήν. οἷον εἰ τοιοῦτόν τι ἐστὶν ἡ καρδία μόριον, τὸ μὲν μίαν ἔχον καρδίαν, ἓν ζῷον. τὰ δὲ πλεονάζοντα μόρια, παραφύσεις. τὰ δὲ πλείους ἔχοντα, δύο μὲν εἶναι. συμπεφυκέναι δὲ διὰ δὲ

τῶν κυημάτων



τῶν κυημάτων σύναψιν. συμβαίνει δὲ πολλάκις καὶ τῶν οὐ δοκούντων ἀναπήρων εἶναι ζώων πολλοῖς ἤδη τετελειωμένοις, τοὺς μὲν συμπεφυκέναι τῶν πόρων, τοὺς δὲ παρεκτετράφθαι. καὶ γὰρ θηλείαις τισὶν ἤδη τὸ στόμα τῶν ὑστερῶν, συμπεφυκὸς διετέλεσεν. ἤδη δ' ὥρας οὔσης τῶν καταμηνίων καὶ πόνων γιγνομένων. ταῖς μὲν αὐτόματον ἐρράγη. ταῖς δ' ὑπὸ ἰατρῶν διῃρέθη. τὰς δὲ διαφθαρῆναι συνέπεσεν. ἢ βίας γενομένης τῆς ῥήξεως, ἢ γενέσθαι μὴ δυναμένης, καὶ τῶν παίδων ἐνίοις οὐ κατὰ τὸ αὐτὸ συνέπεσε τὸ πέρας τοῦ αἰδοίου, καὶ ὁ πόρος ᾗ διέρχεται τὸ περίττωμα τὸ ἐκ τῆς κύστεως. ἀλλ' ὑποκάτωθεν. διὸ καὶ καθήμενοι οὐροῦσι. τῶν δὲ ὄρχεων ἀνεσπασμένων ἄνω, δοκοῦσι τοῖς ἄποθεν, ἅμα θήλεος ἔχειν αἰδοῖον καὶ ἄρρενος, ἤδη δὲ καὶ ὁ τῆς ξηρᾶς τροφῆς πόρος συμπεφυκὼς ἐπί τινων ζώων γέγονε. καὶ προβάτων καὶ ἄλλων. ἐπεὶ καὶ βοῦς ἐν Περίνθῳ ἐγένετο ᾗ διὰ τῆς κύστεως λεπτὴ διηθουμένη τροφὴ διεχώρει. καὶ ἀνατμηθέντος τοῦ ἀρχοῦ, ταχὺ πάλιν συνεφύετο, καὶ οὐκ ἐπεκράτουν διαιροῦντες. περὶ μὲν οὖν ὀλιγοτοκίας καὶ πολυτοκίας καὶ παραφύσεως τῶν πλεοναζόντων ἢ ἐλλειπόντων μορίων, ἔτι δὲ περὶ τῶν τερατωδῶν, εἴρηται.

διὰ τὸ προαρπάσαι αὐτὴν τὴν δακτυλοποιητικὴν, κινεῖ, καὶ ἕλκει ἀφ' οὗ ἂν εὑρήσει περιττὴν ὕλην, εὑρίσκει δὲ τὸν ἕκτον δάκτυλον, ὅσπερ ἐκ τῆς συνέστη ἀπὸ τῆς ὕλης ἐξ ἧς ἔμελλε ὁ καρπὸς συστῆναι, ὃν λαβοῦσα προσάπτει τῷ καρπῷ, αὕτη ἐστὶν ἡ αἰτία τοῦ γεννᾶσθαι τινὰς ἔχοντας δάκτυλον ἐν τῷ καρπῷ. ἐνίοτε οὖν φησὶ γίνονται οἱ δάκτυλοι, καὶ πόρρω ἀλλήλων, διὰ τὸ κινεῖν τὰς δυνάμεις τῆς ψυχῆς τὰς ἐν τῷ κυήματι ὕλην ὁτὲ μὲν πρὸς ἑαυτὴν τὴν δακτυλοποιητικὴν, ὁτὲ δὲ τὴν καρποποιητικὴν, ὁτὲ δὲ τὴν κεφαλοποιητικὴν, ὁτὲ δὲ οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὴν τῆς ὕλης ὑπεροχὴν, ὅθεν ἀφαιρεθῇ, ἐκεῖ ἀποδιδόναι. ἡ γὰρ ἀπὸ τοῦ καρποῦ εἰς δακτύλων σύστασιν πλείων ληφθεῖσα τῆς προσηκούσης, πάλιν εἰς τὸν καρπὸν ἀποδίδοται καὶ ἀντιστρέφει. τὸ δὲ εἶδος τοῦ δακτύλου ἔχει ἀπὸ τῆς δακτυλοποιητικῆς δυνάμεως, ὅπου ἐπλεόνασε τουτέστι ὅπου πλείων τῆς προσηκούσης ἐλήφθη. ᾧ δὲ συνέβη αἰδοῖα δύο ἔχειν ἄρρενα καὶ θήλεα, εἰ μὲν περίνεον ἔχει, τὸ μὲν ἄρρεν κατὰ φύσιν ὑπάρχον αὐτῷ κύριον γίνεται, τουτέστι τέλειον, τὸ δὲ τοῦ θήλεος ἄκυρον καὶ ἀτελὲς, διὰ τὸ καὶ τὴν τροφὴν ἀμαυρὰν λαμβάνειν παρὰ φύσιν ὄν. εἰ δὲ τύχοι ὑπάρχον τοὐναντίον τὸ μὲν τοῦ θήλεος κύριον γίνεται καὶ τέλειον, τὸ δὲ τοῦ ἄρρενος ἄκυρον καὶ ἀτελὲς, προσπέφυκε δὲ αὐτοῖς, καὶ οὕτω τρέφεται τὰ παρὰ φύσιν αἰδοῖα, ὥσπερ καὶ τὰ ἑλκώδη φύματα. ἂν μὲν οὖν πλεονάσασα ἡ ὕλη κρατηθῇ ὑπὸ τῆς γονῆς, γίνεται ἐν τῷ ζῴῳ, δύο αἰδοῖα ἄρρενα, τούτου γάρ ἐστι δηλωτικὸν τὸ, ὅμοια ἀλλήλοις, εἰ δὲ κρατηθῇ γίνεται δύο θήλεα, ἂν δὲ τῇ μὲν κρατήσῃ, τῇ δὲ κρατηθῇ, ἄρρενος καὶ θήλεος. λέγει δὲ διαφέρειν τὴν παρὰ φύσιν καὶ τὴν πολυτοκίαν τῶν εἰρημένων, λέγων παρὰ φύσιν τὴν ἑξαδακτυλίαν, καὶ τὰ ὅμοια. τὰ δὲ τέρατα πάλιν διαφέρει τῆς πολυτοκίας, ὅτι τὸ μὲν τέρας ἐστὶ πολλῶν ζῴων σύμφυσις, ἡ δὲ πολυτοκία πολλῶν ζῴων χωρισμός. τῆς δὲ παραφύσεως διαφέρει ἡ πολυτοκία, καὶ τὸ τέρας, ὅτι ἐν τῇ παραφύσει περὶ τὰ μόρια ἥμαρτεν ἡ φύσις, ἐν δὲ τοῖς τέρασι περὶ τὰς ὁλότητας, ἐν δὲ τῇ πολυτοκίᾳ κατευστόχησε μᾶλλον καὶ οὐκ ἀπέτυχε, ὅμως αὐτὸς νῦν περὶ τῆς παραφύσεως καὶ τοῦ τέρατος λέγει. τὸ δὲ οἷα δὲ καὶ τοῦτον τρόπον, ἴσον ἐστὶ τῷ, οἷα δὲ τῶν τερατωδῶν, κατ' οὐδένα τρόπον γίνεται τῶν ῥηθέντων τρόπων, ἀλλὰ μᾶλλον κατὰ τὸν ῥηθησόμενον. ἀλλὰ καὶ τὸ, τὰ δὲ πλείω ἔχοντα, ταυτόν ἐστι τῷ, τὰ δὲ δύο ἔχοντα καρδίας. ὥστε, ὡς μὲν συμπεφυκὸς ἓν αὐτὸ δεῖ λέγειν, ὡς δὲ δύο ἔχον καρδίας, δύο. ἀλλὰ καὶ τῶν δοκούντων ἀναπήρων εἶναι ἀλλὰ τελείων, τινὰς τῶν πόρων λέγει συμπεφυκέναι, καὶ καταλέγει πάντα σαφῶς. τισὶ δὲ συνέβη ὄρχεις μὲν ἔχειν καὶ αἰδοῖον, ἔχει δὲ τὸ αἰδοῖον, κάτωθεν τῶν ὄρχεων, ὥστε δοκεῖν ἅμα ἄρρενος ἔχειν αἰδοῖον καὶ θήλεος. τῶν γὰρ ὄρχεων ἄνω ἀνασπασθέντων, ἐμφέρεια θήλεος αἰδοίου ἀποτελεῖται. λέγει δὲ καὶ ὅτι βοῦς τις θήλεια ἐ-

γεγόνει ἐν πειρίνθῳ, συμπεφυκότα ἔχουσα τὸν πόρον δι' οὗ ἔξεισιν ἡ τῆς ξηρᾶς ζοφῆς περίττωσις, ἥτις ξηρᾶς ζοφῆς περίττωσις, ἐζήρχετο διὰ τῆς κύστεως, καὶ τοῦ αἰδοίου, δι' οὗ καὶ ἡ τῆς ὑγρᾶς ζοφῆς περίττωσις, καὶ πολλάκις ἀνατμηθέντος τοῦ ἀρχοῦ, τουτέστι τοῦ ἀπευθυσμένου ἐντόρνου τῆς τοιαύτης βοὸς, πάλιν συνεφύετο.

Ἐπικυΐσκεσθαι λέγει τὰ ζῶα, ὅσα μιᾷ τὴν σύλληψιν ὀχευθέντα πάλιν ἕτερα συλλαμβάνονται. καὶ τῶν ἐπικυΐσκομένων φησὶ τὰ μὲν τελειοῖ, καὶ τὰ ἐκ τῆς πρώτης ὀχείας συλληφθέντα, καὶ τὰ ἐκ τῆς δευτόρας, τὰ δ' οὔ, ὧν τὰς αἰτίας ἐρεῖ προϊών. εἰπὼν δὲ ὅτι τὰ μὲν τῶν ζώων οὐκ ἐπικυΐσκεται ὅλως, γοργῶς τὴν αἰτίαν τούτου ἐπήγαγε εἰπὼν, διὰ γὰρ τὸ μέγεθος τὸ περίττωμα ἀναλίσκεται εἰς κύημα, τουτέστι διὰ γὰρ τὸ μέγεθος τοῦ κυήματος. τῶν γὰρ μεγάλων ζώων καὶ τὰ κυήματα μεγάλα, διὰ δὴ τὸ μέγεθος τοῦ κυήματος, ἀναλίσκεται εἰς αὐτὸ τὸ περίττωμα, καὶ ἢ οὐ δόλως λείπεταί τι, ἢ κἂν ληφθῇ ἀλλὰ πάμπαν ὀλίγον ἐστὶ πρὸς τοιούτου κυήματος σύστασιν. τὰ δὲ πολυτόκα φησὶ ἐπικυΐσκεται, καὶ τὴν αἰτίαν τούτου ἐπήγαγε εἰπών. διὰ τὸ καὶ τῶν πλειόνων τῶν ἑνὸς εἶναι θατόρω θάτερον ἐπικύημα, πλείονα ἑνὸς λέγων, τὰ δύο, τὰ τρία, καὶ τὸ ἐφεξῆς ἅπαντας ἀριθμούς. ἐστὶ δὲ τὸ λεγόμενον, ἐπὶ τῶν πολυτόκων, τῶν πλείονα ἑνὸς γεννώντων, θάτερον, θατέρου ἐπικύημα ἐστὶ, οὐ γὰρ ἅμα τελειοῦνται, ἀλλὰ πρῶτον μὲν τόδε ὅπερ, καὶ πρῶτον γεννᾶται, δεύτερον δὲ τελειοῦται τὸ μιᾷ τὸ πρῶτον γεννηθὲν, καὶ ἐστὶ τὸ δεύτερον ἐπικύημα τῷ πρώτῳ, καὶ τὸ τρίτον τῷ δευτέρῳ, καὶ ἐφεξῆς. ὅτι δὲ οὐχ ἅμα πάντα τελειοῦντες, δῆλον καὶ ἀπὸ τοῦ καιροῦ τῆς κυήσεως, πολλάκις γὰρ γεννᾷ ἡ ὗς, ἢ ἡ κύων, ἢ ἄλλό τι τῶν πολυτόκων, ἐν μὲν τῇ πρώτῃ φέρε εἰπεῖν ὥρα τῆς ἡμέρας, ἐν, ἢ δύο, ἐν δὲ τῇ δεκάτῃ ἄλλο, καὶ ἐν τῷ μετ' ἐκείνην, ἕτερον, ὡς δηλονότι μὴ ἅμα τελειωθέντων. ἐπεὶ οὖν ἐπὶ τοσούτων ἄλλῳ ἄλλο ἐπικύημα ἐστὶ, καὶ ἡ εὐφυὴς ἡ τούτων φύσις ὑπάρχει πρὸς τὸ ἐπικυΐσκεσθαι, ἡ ἀπὸ τῆς μιᾷ τὴν σύλληψιν ὀχείας γονὴ εἰσελθοῦσα καὶ βραχείας ὕλης λαβομένη διὰ τὸ καὶ τὰ κυήματα τῶν τοιούτων ἐκβραχείας συνίστασθαι ὕλης συνίστησι καὶ ποιεῖ ἐπὶ πρώτοις κυήμασι, ἕτερα κυήματα, καὶ διαζῆς γεννῶνται πρῶτον μὲν, τὰ ἐκ τῆς πρώτης ὀχείας καὶ συλλήψεως ὕστερον δὲ μιᾷ δέκα ἡμέρας ἢ κ. τὰ ἐκ τῆς δευτέρας. οὕτω γὰρ καὶ δύνανται ἐκζέφεσθαι, ὅταν συνέγγυς καὶ πλησίον τῇ πρώτῃ συλλήψει γένηται ἡ δευτόρα. ἂν δὲ γένητο ἡ μὲν πρώτη σήμερον, ἡ δὲ δευτόρα σύλληψις μιᾷ τρεῖς, ἢ μιᾷ δύο μῆνας, ὅταν

Τῶν δὲ ζώων τὰ μὲν ὅλως οὐκ ἐπικυΐσκεται. καὶ τῶν ἐπικυΐσκομένων, τὰ μὲν δύναται τὰ κυήματα ἐκζέφειν, τὰ δέ, ποτε μὲν, ποτέ δ' οὔ. τοῦ δὲ μὴ ἐπικυΐσκεσθαι αἴτιον, ὅτι μονοτόκα ἐστί. τά τε γὰρ μώνυχα οὐκ ἐπικυΐσκεται, καὶ τὰ τούτων μείζονα. διὰ γὰρ τὸ μέγεθος, τὸ περίττωμα ἀναλίσκεται εἰς τὸ κύημα. πᾶσι γὰρ ὑπάρχει τούτοις μέγεθος σώματος. τῶν δὲ μεγάλων, καὶ τὰ ἔμβρυα μεγάλα κατὰ λόγον ἐστί. διὸ καὶ τὸ τῶν ἐλεφάντων ἔμβρυον, ἡ λίκον μόσχος ἐστί. τὰ δὲ πολυτόκα ἐπικυΐσκεται διὰ τὸ τὰ πλείονα τῶν ἑνὸς, εἶναι θατέρου θάτερον ἐπικύημα. τούτων δὲ ὅσα μὲν μέγεθος ἔχει καθάπερ ἄνθρωπος, ἐὰν μὲν ἡ ἑτόρα ὀχεῖα τῆς ἑτέρας γένηται πάρεγγυς, ἐκζέφει τὸ ἐπικυηθέν. ἤδη γὰρ ὦπται τὸ τοιοῦτον συμβεβηκός. αἴτιον δὲ τὸ εἰρημένον. καὶ γὰρ ἐν τῇ μιᾷ συνουσίᾳ πλεῖον τὸ ἀπιόν ἐστι σπέρμα, ὃ μερισθὲν, ποιεῖ πολυτοκεῖν ὧν ὑστερίζει θάτερον. ὅταν δὲ ἤδη τοῦ κυήματος ἠυξημένου συμβῇ γίνεσθαι τῶν ὀχείαν, ἐπικυΐσκεται μέν ποτε. ὀλιγάκις μέντοι διὰ τὸ τὴν ὑστέραν συμμύειν ὡς τὰ πολλὰ, μέχρι τῶν κυουμένων ταῖς γυναιξίν. ἂν δὲ συμβῇ ποτε, καὶ γὰρ τοῦτ' ἤδη γέγονεν, οὐ δύναται τελειοῦν. ἀλλὰ κύηματ' ἐκπίπτει παραπλήσια τοῖς καλουμένοις ἐκζώμασιν. ὥσπερ γὰρ ἐπὶ τῶν μονοτόκων διὰ τὸ μέγεθος εἰς τὸ προϋπάρχον, τὸ περίττωμα ζέπεται πᾶν, οὕτω καὶ τούτοις. πλὴν ἐκείνοις μὲν εὐθύς. τούτοις δ' ὅταν αὐξηθῇ τὸ ἔμβρυον. τότε γὰρ ἔχουσι παραπλησίως τοῖς μονοτόκοις.



νας, ὅταν ἤδη τὸ κύημα αὐξηθῇ, ἢ οὐκ ἐπικυΐσκεται, ἢ ὀλιγάκις. εἰπὼν δὲ ἤδη γὰρ ὦπται τὸ τοιοῦτον συμβεβηκὼς, ἐπήγαγε, αἴτιον δὲ τὸ εἰρημένον, λέγων εἰρημένον τὸ, διὰ τὸ καὶ τῶν πλειόνων τοῦ ἑνὸς εἶναι θατόρω θάτερον ἐπικύημα. ἐν δὲ τῇ λέξει τῇ, μέχρι τῶν κυουμένων ταῖς γυναιξὶ, κυουμένων, νῦν λέγει τοὺς καιροὺς τῶν τόκων. τὸ δὲ τῆς λέξεως συνεχὲς τοιοῦτον ἐστὶ, διὰ τὸ ὡς τὰ πολλὰ τὴν ὑστέραν ταῖς γυναιξὶ, τουτέστι τῶν γυναικῶν, συμμύειν μέχρι τοῦ καιροῦ τῆς κυήσεως, τότε γὰρ ἀνοίγεται ἵνα ἐξέλθῃ τὸ ἔμβρυον. τὸ δὲ, ἂν καὶ συμβῇ ποτὲ, ταυτόν ἐστι τῷ, ἂν δὲ συμβῇ ποτὲ ἀνεωγμένην εἶναι τὴν ὑστέραν, καὶ διαζῆς γενέσθαι ἐπὶ κύησιν, γίνεται ταῦτα πάντα, ἅπερ σαφῶς καταλέγει. ὥσπερ δὲ φησὶ ἐπὶ τῶν μονοτόκων διὰ τὸ μέγεθος τοῦ κυήματος εὐθὺς ἐν τῇ πρώτῃ συστάσει, ἀνήλωται πᾶσα ἡ ὕλη εἰς αὐτὸ, διὸ καὶ οὐ δύναται ἕτερον συστῆναι, οὕτω καὶ ἐπὶ τῶν πολυτόκων, ὅταν αὐξηθῶσι τὰ κυήματα, ὅτε καὶ πλείονος δέονται ζοφῆς, οὐκ ἐῶσι τοσαύτην περιττεῦσαι, ὁπόση δὴ εἰς ζώου σύστασιν ἀρκεῖ. ἂν δὲ συνέγγυς γένηται ἡ ὀχεία, ἂν δέ γε συνέγγυς τῇ πρώτῃ ὀχείᾳ ἡ δευτόρα γένηται, ὅταν πάμπαν ἐστὶ βραχέα τὰ κυήματα, καὶ ὀλίγης δεόμενα ζοφῆς, συνίσταται κυήματα, περιττεύει γὰρ ὕλη τότε ἀρκοῦσα εἰς κυημάτων σύστασιν.

Ὁμοίως δὲ διὰ τὸ τὸν ἄνθρωπον φύσει πολυτόκον εἶναι. καὶ περιεῖναί τε τῷ μεγέθει τῆς ὑστέρας καὶ τοῦ περιττώματος, μὴ μέντοι τοσοῦτον ὥστε ἐκτρέφειν ἕτερον, μόνα τῶν ζώων ὀχείαν ἐπιδέχονται κυοῦντα, γυνὴ καὶ ἵππος. ἡ μὲν διὰ τὴν εἰρημένην αἰτίαν. ἡ δ' ἵππος διά τε τὴν τῆς φύσεως στερρότητα. καὶ τὸ περιεῖναί τι μέγεθος τῆς ὑστέρας, πλέον μὲν ἢ τῷ ἑνί. ἔλαττον δὲ ἢ ὥστε ἄλλο ἐπικυΐσκεσθαι τέλειον. ἔστι δὲ φύσει ἀφροδισιαστικὸν, διὰ τὸ ταυτὸ πεπονθέναι τοῖς στερροῖς, ἐκεῖνά τε καὶ τοιαῦτ' ἐστί. διὰ τὸ μὴ γίνεσθαι κάθαρσιν. ζῆς δ' ἐστὶν ὥσπερ τοῖς ἄρρεσι τὸ ἀφροδισιάσαι. καὶ ἵπποι αἱ θήλειαι, ἥκιστα προΐενται κάθαρσιν. ἐν πᾶσι δὲ τοῖς ζωοτοκοῦσι τὰ στερρὰ τῶν θηλειῶν ἀφροδισιαστικά. διὰ τὸ παραπλησίως ἔχειν τοῖς ἄρρεσιν, ὅταν συνειλεγμένον μὲν ᾖ τὸ σπέρμα. μὴ ἀποκρινόμενον δέ. τοῖς γὰρ θήλεσιν ἡ τῶν κατα μηνίων κάθαρσις, σπέρματος ἔξοδός ἐστιν. ἔστι καὶ τὰ κατα μηνία, σπέρμα ἄπεπτον ὥσπερ πρότερον εἴρηται. διὸ καὶ τῶν γυναικῶν ὅσαι πρὸς τὴν ὁμίλιαν ἀκρατεῖς τὴν τοιαύτην, ὅταν πολυτοκήσωσι, παύονται τῆς πτοήσεως. ἐκκεκριμένη γὰρ ἡ σπερματικὴ περίττωσις, οὐκέτι ποιεῖ τῆς ὁμιλίας ταύτης ἐπιθυμίαν. ἐν δὲ τοῖς ὄρνισιν αἱ θήλειαι, τῶν ἀρρένων ἧττόν εἰσιν ἀφροδισιαστικαί. διὰ τὸ πρὸς τῷ ὑποζώματι τὰς ὑστέρας ἔχειν τὰ δὲ ἄρρενα, τὸ ὠναντίον. ἀνεσπασμένους γὰρ ἔχει τοὺς ὄρχεις ἐντός. ὥστε ἂν ᾖ τὸ γένος τῶν τοιούτων ὀρνίθων φύσει σπερματικόν, ἀεὶ δεῖσθαι τῆς ὁμιλίας ταύτης. τοῖς μὲν

Διὰ τούτων τὴν αἰτίαν τίθησι, τῶν διὰ τὸ μόνη ἡ γυνὴ, καὶ ἡ ἵππος ἀπὸ πάντων τῶν θηλέων, μιᾷ τῶν σύλληψιν ὀχεύεται. οὐδὲν γὰρ τῶν ἄλλων μιᾷ τὸ συλλαβεῖν ἀνέχεται ὀχευθῆναι πλὴν γυναικὸς, καὶ τῆς ἵππου, αὗται γὰρ καὶ μιᾷ τῶν σύλληψιν ἄχρι τοῦ τόκου ὀχεύονται. πάνυ δὲ ἀσαφῶς, καὶ μεμελανωμένως ἐπάγει τὰς αἰτίας. τέως δὲ τοῦ τὴν γυναῖκα καὶ μετὰ τὸ πληρωθῆναι ἐπιθυμεῖν ὁμιλίας, καὶ ὀχεύεσθαι αἴτιον ἐπήγαγε τὸ, διὰ τὸ τὸν ἄνθρωπον φύσει πολυτόκον εἶναι, καὶ περιεῖναι τὶ τῷ μεγέθει τῆς ὑστέρας, καὶ τοῦ περιττώματος. εἴη δὲ ἂν τὸ τῆς λέξεως κατάλληλον τοιοῦτον μόνα ἀπὸ τῶν ἄλλων ζώων κυοῦντα καὶ κατὰ γαστρὸς ἔχοντα, ὀχεύεται γυνὴ καὶ ἵππος. ἡ μὲν οὖν γυνὴ, διὰ τὸ τὸν ἄνθρωπον φύσει πολυτόκον εἶναι, καὶ διὰ τὰ ἐξῆς τῆς λέξεως. ἐστὶ δὲ τὸ λεγόμενον ὡς συλλεξαμένοις εἰπεῖν τοιοῦτον. ἐπεὶ ἡ ἄνθρωπος πολυτόκος τέ ἐστι, ἔχει δὲ καὶ τὴν ὑστέραν κάτω πρὸς τοῖς ἄρθροις, ὅταν συλλάβηται, οὐ πληροῦται ἡ ὑστέρα ὑπὸ τοῦ ἑνὸς ἐμβρύου, ὥστε μὴ δύνασθαι καὶ ἕτερον δέξασθαι, εἰ γὰρ ἐπλήρου αὐτὴν τὸ ἕν, οὐδέποτε ἂν δύο ἢ τρία ἔτεκεν, οὐ γὰρ ἂν εἶχε τούτων χώραν ἡ ὑστέρα, παραπεφυκυῖα πληροῦσθαι ὑφ' ἑνός. ἐπεὶ

οὕτω χώραν ἔχει δέξασθαι καὶ ἄλλο ἢ ἄλλα, τούτου γάρ ἐστι δηλωτικὸν, τὸ περιεῖναί τι τῷ μεγέθει τῆς ὑστέρας ὅταν περιῇ, καὶ ἐναπομείνῃ καὶ τοῦ καταμηνίου τι. πάντως δὲ ἐναπομονὴ, διὰ τὸ πολλὴν περίττωσιν ἐκκρίνειν τὴν γυναῖκα. ὅταν οὖν ἐναπομείνῃ καὶ τοῦ καταμηνίου τι, μὴ μέντοι τοσοῦτον, ὥστε καὶ ἕτερον ἐξ αὐτοῦ συστῆναι δύνασθαι ζῷον, διερεθίζεται αὐτή τε ἡ ὑστέρα ὑπὸ τοῦ καταμηνίου πρὸς μίξιν, καὶ συνδιερεθίζει καὶ τὸ αἰδοῖον διὰ τὴν γειτνίασιν, ἐν ᾧ αἰδοίῳ γίνεται καὶ ἡ ἀφὴ, καὶ ἡ ἡδονή. μικρᾶς γὰρ τούτου κινήσεως τυχὸν ἀπὸ τῆς ὑστέρας, κινεῖταί τε, καὶ ἐκμαίνεται, ὁμοίως δὲ καὶ ἡ ὑστέρα ἐκβακχεύεται, διά τε τὴν τοῦ καταμηνίου διερέθισιν, καὶ διὰ τὴν χώραν. βούλεται γὰρ μᾶλλον εἶναι πλήρης, ἢ κενή. ἐπεὶ οὖν ἡ γυνὴ, καὶ μετὰ τὴν σύλληψιν, διὰ τὸ φύσει ὑγρὸν, καὶ ψυχρὸν αὐτῆς προΐεται περίττωσιν, ὡς ἐπιτοπολὺ, πλέον μὲν ἢ ὅσον ἀρκεῖ εἰς τροφὴν τῷ κυήματι, ἔλαττον δὲ ἢ ὥστε γενέσθαι ἕτερον ἐξ αὐτῆς, ἀνάγκη διερεθίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ, ὥσπερ καὶ τὰ ἄρρενα ὑπὸ τῆς προϋπαρχούσης γονῆς. εἴπου δὲ ὡς ἐπιτοπολὺ προΐεσθαι τοιοῦτον περίττωμα, διότι οὐκ ἀεὶ τὸ περιττεῦον ἔλαττόν ἐστιν, ἢ ὥστε συστῆναι ἕτερον κύημα ἐξ αὐτοῦ, εἰ γὰρ τοιοῦτον ἦν, οὐκ ἂν ἐπεκυΐσκετο ἡ γυνὴ, ἀλλ' ἔστιν ὡς ἐπιτοπολὺ, ἔλαττον. ἡ μὲν οὖν γυνὴ διὰ ταύτας τὰς αἰτίας ἐπιθυμεῖ ὀχείας, καὶ μετὰ τὴν κύησιν, ἡ δ' ἵππος διὰ τὴν τοῦ σώματος στερρότητα, λέγει δὲ στερρὰ, τὰ πυκνότητα ἔχοντα τὴν ὑστέραν, ὥστε μὴ δύνασθαι διαπνεῖσθαι τὸ καταμήνιον. προΐεται μὲν γὰρ καὶ ἵππος, ὀλίγον δὲ περίττωμα, ὥσπερ καὶ τὰ ἄλλα ζῷα, ἀλλ' ἐκείνων οὖν καὶ συμμεμύκασι αἱ ὑστέραι μετὰ τὴν σύλληψιν, ὅμως

οὕτω θήλεσι τὸ κάτω καταβαίνειν τὰς ὑστέρας. τοῖς δὲ ἄρρεσι, τὸ ἀνασπᾶσθαι τοὺς ὄρχεις, συμβαίνει πρὸ ὁδοῦ πρὸς τὴν ὀχείαν. δι' ἣν μὲν οὖν αἰτίαν τὰ μὲν οὐκ ἐπικυΐσκεται παντελῶς, τὰ δ' ἐπικυΐσκεται μέν. τὰ δὲ κυήματα ἐκτρέφει ὅτε μὲν ὅτε δ' οὔ, καὶ διὰ τίν' αἰτίαν τὰ μὲν ἀφροδισιαστικὰ, τὰ δ' οὐκ ἀφροδισιαστικὰ τῶν τοιούτων ἐστὶν, εἴρηται, ἔνια δὲ τῶν ἐπικυϊσκομένων, καὶ πολλοῦ χρόνου διαλιπούσης τῆς ὀχείας, δύναται τὰ κυήματα ἐκτρέφειν, ὅσων σπερματικόν ἐστι τὸ γένος καὶ μὴ τὸ σῶμα μέγεθος ἔχει καὶ τῶν πολυτόκων. διὰ μὲν γὰρ τὸ πολυτοκεῖν, εὐρυχωρίαν ἔχει τῆς ὑστέρας. διὰ δὲ τὸ σπερματικὸν εἶναι, πολὺ προΐεται περίττωμα τῆς καθάρσεως. διὰ δὲ μὴ τὸ σῶμα μέγεθος ἔχειν, ἀλλὰ πλείονι λόγῳ τὴν κάθαρσιν ὑπερβάλλειν τῆς εἰς τὰ κυήματα τροφῆς, δυνατόν τε συνίστασθαι ζῷα καὶ ὕστερον. καὶ ταῦτα τ' ἐκτρέφειν. ἔτι δὲ αἱ ὑστέραι τῶν τοιούτων οὐ συμμεμύκασι διὰ τὸ περιεῖναι περίττωμα τῆς καθάρσεως. τοῦτο δὲ καὶ ἐπὶ γυναικῶν συμβέβηκε. γίνεται γάρ τισι κυούσαις κάθαρσις καὶ διὰ τέλους. ἀλλὰ ταύταις μὲν παρὰ φύσιν. διὸ βλάπτει τὸ κύημα. τοῖς δὲ τοιούτοις τῶν ζῴων, κατὰ φύσιν. οὕτω γὰρ τὸ σῶμα συνέστηκεν ἐξ ἀρχῆς, οἷον τὸ τῶν δασυπόδων. τοῦτο γὰρ ἐπικυΐσκεται τὸ ζῷον. οὔτε γὰρ τῶν μεγάλων ἐστὶ, πολυτόκον τε, πολυσχιδὲς γὰρ, τὰ δὲ πολυσχιδῆ πολυτόκα, καὶ σπερματικὸν, δηλοῖ δ' ἡ δασύτης. ὑπερβάλλει γὰρ τοῦ τριχώματος τὸ πλῆθος. καὶ γὰρ ὑπὸ τοὺς πόδας καὶ ἐντὸς τῶν γνάθων τοῦτ' ἔχει τρίχας μόνον. ἡ δὲ δασύτης, σημεῖον πλήθους περιττώματός ἐστι. διὸ καὶ τῶν ἀνθρώπων οἱ δασεῖς ἀφροδισιαστικοὶ καὶ πολύσπερμοι μᾶλλόν εἰσι τῶν λείων. ὁ μὲν οὖν δασύπους, τὰ μὲν τῶν κυημάτων ἀτελῆ πολλάκις ἔχει. τὰ δὲ προΐεται τετελειωμένα τῶν τέκνων. τῶν δὲ ζῳοτόκων τὰ μὲν ἀτελῆ προΐεται ζῷα. τὰ δὲ τετελειωμένα. τὰ μὲν μώνυχα, τετελειωμένα καὶ τὰ δίχηλα. τῶν δὲ πολυσχιδῶν, ἀτελῆ πολλά. τούτου δ' αἴτιον ὅτι τὰ μὲν μώνυχα, μονοτόκα ἐστί. τὰ δὲ δίχηλα, ἢ μονοτόκα ἢ διτόκα ὡς ἐπιτοπολύ. ῥᾴδιον δὲ τὰ ὀλιγοτόκα ἐκτρέφειν.

τῶν δὲ



τῶν δὲ πολυσχιδῶν ὅσα ἀτελῆ τίκτει πάντα πολυτόκα. διὸ νέα μὲν ὄντα δύναται τὰ κυήματα ἐκτρέφειν. ὅταν δ' αὐξηθῇ καὶ λάβῃ μέγεθος, οὐ δυνάμενον τοῦ σώματος ἐκτρέφειν, προΐεται καθάπερ τὰ σκωληκοτόκα τῶν ζῴων. καὶ γὰρ τούτων τὰ μὲν ἀδιάρθρωτα γεννᾷ καθάπερ ἀλώπηξ, ἄρκτος, λέων, παραπλησίως δ' ἔνια καὶ τῶν ἄλλων. τυφλὰ δὲ πάντα σχεδὸν, οἷον ταῦτά τε, καὶ ἔτι κύων. λύκος. θώς. μόνον δὲ πολυτόκον ὂν ὁ ὗς, τελειοτοκεῖ. καὶ ἐπαλλάττει μόνον τοῦτο. πολυτοκεῖ μὲν γὰρ ὡς τὰ πολυσχιδῆ. δίχηλον δ' ἐστὶ καὶ μώνυχον. εἰσὶ γάρ που μώνυχες ὕες. πολυτοκεῖ μὲν οὖν, διὰ τὸ τὴν εἰς τὸ μέγεθος τροφὴν, εἰς τὴν σπερματικὴν ἀποκρίνεσθαι περίττωσιν. τοῦτο γὰρ ὡς μώνυχον οὐκ ἔχει μέγεθος. ἅμα δὲ καὶ μᾶλλον ὥσπερ ἀμφισβητοῦν τῇ φύσει τῷ τῶν μωνύχων, δίχηλόν ἐστι. διὰ μὲν οὖν τοῦτο, καὶ μονοτοκεῖ καὶ διτοκεῖ καὶ πολυτοκεῖ τὰ πλεῖστα. ἐκτρέφει δ' εἰς τέλος, διὰ τὴν τοῦ σώματος εὐβοσίαν. ἔχει γὰρ ὥσπερ πίειρα γῆ φυτοῖς ἱκανὴν καὶ δαψιλῆ τροφήν. τίκτουσι δ' ἀτελῆ καὶ τυφλά. καὶ τῶν ὀρνίθων τινὲς, ὅσοι πολυτοκοῦσιν αὐτῶν, μὴ σωμάτων ἔχοντες μέγεθος. οἷον κορώνη. κίττα. στρουθοί. χελιδόνες. καὶ τῶν ὀλιγοτοκούντων ὅσα μὴ δαψιλῆ τροφὴν συνεκτίκτει τοῖς τέκνοις. οἷον φάττα καὶ τρυγών. καὶ περιστερά. καὶ διὰ τοῦτο τῶν χελιδόνων ἐάν τις ἔτι νέων ὄντων ἐκκεντήσῃ τὰ ὄμματα, πάλιν ὑγιάζονται. γινομένων γὰρ ἀλλ' οὐ γεγενημένων φθείρεται, διόπερ φύονται καὶ βλαστάνουσιν ἐξ ἀρχῆς.

διαπνεῖται διὰ τὴν τῆς ὑστέρας μανότητα καὶ σομφότητα, καὶ οὐ μένει ἵνα νύξῃ, καὶ διερεθίσῃ αὐτά. ἐπὶ δὲ τῆς ἵππου, διαπνευσθῆναι οὐ δύναται, διὰ τὸ πυκνὴν εἶναι καὶ στερράν. ἐνὸν δὲ ἐν αὐτῇ κινεῖ, καὶ διερεθίζει προθυμίαν μίξεως, ὥσπερ οὖν ἐν τοῖς ἄρρεσι γίνεται τὸ ἀφροδισιάσαι, τουτέστι ἐπιθυμία ἀφροδισίας διὰ τὸ σπέρμα, οὕτω καὶ τούτοις διὰ τὸ καταμήνιον. πάσχουσι δὲ τοῦτο αἱ γυναῖκες, οὐ διὰ τὴν πύκνωσιν τῆς ὑστέρας, ἀλλὰ διὰ τὸ πλῆθος τοῦ καταμηνίου καὶ χώραν τῆς ὑστέρας, αἱ δὲ ἵπποι διὰ τὴν πύκνωσιν. τοῦ δὲ τὸ καταμήνιον διερεθιστικὸν εἶναι, σημεῖον παρέθετο τὰς ἀκρατεῖς τῶν γυναικῶν, αὗται γὰρ πρότερον μὲν διὰ τὸ τοῦ περιττώματος πλῆθος ἀκρατεύονται, ὕστερον δὲ παύονται, διὰ τὸ ἀναλωθῆναι ὑπὸ τοῦ πολλάκις τεκεῖν, τὴν ἐπαρξύνουσαν, καὶ διεγείρουσαν αὐτὰς ὕλην, τῶν δὲ ὀρνίθων φησὶ μᾶλλον εἰσὶ ἀφροδισιαστικὰ τὰ ἄρρενα, ἤπερ τὰ θήλεα. εἴρηται γὰρ, ὅτι τῶν γυναικῶν αἱ ὑστέραι πλησίον οὖσαι τοῖς ἄρθροις, τουτέστι τοῖς αἰδοίοις, ἀπὸ τῆς ἐν ἐκείνῃ κινήσεως, συγκινούμενον αὐτῇ τὸ αἰδοῖον, ὀρέγεται μίξεως. ἐπεὶ γὰρ καὶ ἡ ἀφὴ καὶ ἡ ἡδονὴ ἐν τῷ αἰδοίῳ γίνεται, ἡ μὲν ὑστέρα κινηθεῖσα ὑπὸ τοῦ καταμηνίου, κινεῖ τὸ αἰδοῖον, τοῦτο δὲ, τὸ ζῷον. ἐν δὲ τοῖς ὄρνισι ἄνω πρὸς τῷ ὑποζώματι οὖσα ἡ ὑστέρα, καὶ μὴ πλησίον τοῦ πόρου, ὃς ἀνάλογεῖ τῷ αἰδοίῳ οὐ διερεθίζει τὸ ζῷον, τὸ γὰρ ζῷον κυρίως ὑπὸ τοῦ αἰδοίου κινεῖται. ἐν τούτῳ γὰρ ἔχει καὶ τὴν τῆς ἡδονῆς αἴσθησιν. καὶ τὰ μὲν οὖν θήλεα τῶν ὀρνίθων, διὰ τοῦτο μόλις, καὶ ὀλίγης ὀρέγεται μίξεως, τὰ δ' ἄρρενα (ὡς εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ περὶ ἀνθρώπων,) τότε μάλιστα ἥδεται, ὅταν ἀναςπασθῶσι οἱ ὄρχεις ἄνω, τότε γὰρ ἤδη καὶ ἡ γονὴ ἐξικνεῖται ἀθροισθεῖσα. τὰ δὲ ἄρρενα ἀνασπασμένους ἔχοντα ἄνω τοὺς ὄρχεις, τρόπον τινὰ ἐν ἡδονῇ τυγχάνουσιν ὄντα, ὥστε ἂν τύχωσι ὄντα σπερματικὰ, ἀεὶ δέονται τῆς τοιαύτης ὁμιλίας. λέγει δὲ τὸν δασύποδα μὴ μόνον ἐκτὸς γνάθων ἔχειν τρίχας, ἀλλὰ καὶ ἐντὸς, διὰ τὸ περιττωματικώτατον εἶναι. διὰ τὸ πεφυκέναι δὲ τὸν δασύποδα μετὰ πολλὴν χρόνον τῆς συλλήψεως ἐπικυΐσκεσθαι, τὰ μὲν, ἔχει ἀτελῆ τὰ ἐκ τῆς δευτέρας συλλήψεως ἕως ἂν τελειώσει, τὰ δ' ἐκ τῆς πρώτης τελειωθέντα προΐεται. λέγει δὲ καὶ διὰ τί τὰ πολυτόκα τῶν πολυσχιδῶν ἀτελῆ τίκτει τὰ ἔμβρυα, ὥσπερ ἡ κύων τυφλὰ, ἀτελῆ γὰρ τὰ τυφλὰ, ἔστω δὲ ἡ μὲν ὁ λόγος ἐπὶ τῆς κυνός. νέα μὲν, τουτέστι πάνυ σμικρὰ ὄντα τὰ κυήματα, καὶ διὰ τοῦτο ὀλίγης δεόμενα τροφῆς, δύναται τρέφειν αὐτὰ τὸ ἐκ τῆς κυνὸς περίττωμα, καὶ διὰ τοῦτο ἔχει καὶ φέρει αὐτὰ

κατὰ γαστρός. ὅτων δ' αὐξηθῇ καὶ λάβῃ μέγεθος, οὐ δυνάμενον ζῆφειν αὐτὰ διὰ τὴν ὀλιγότητα. ζοῦ περιπώματος, προϊέτσι ἀτελῆ, ἢ γὰρ ἠδύνατο ζέφειν εἶχεν ἂν ἕως οὗ ἐτελείωστ. ᾧ δὲ, καὶ γαῦ ζούτων, ᾧ ζούτων, περὶ τῶν πολυσχιδῶν, καθ' ὃ πολυτόκων εἰρηκε, ἀλλ' οὐ περὶ τῶν σκωληκοτοκούντων. λέγει δὲ τὴν ὡς ἐπαλλάξειεν, ζουτέστι καὶ διχυλὰ ἔσται καὶ μόνυχα, ἀλλ' ἢ καὶ μώνυχες φησὶ δοτ ὗες, ἀλλ' οὖν οὐκ ἔχουσι μέγα μέγεθος, ὥστερ τὰ κυρίως μώνυχα, τοῦζο ἐστὶ μυκτικὸν τὸ, ᾧ γαῦ ὡς μώνυχον οὐκ ἔχει μέγα μέγεθος, τουτέστι οὐκ ἔχει μέγα μέγεθος ὡς τὰ μώνυχα, ἀλλὰ μικρὸν, ᾧ διὰ τὸ μὴ ἔχειν, μέγεθος, πολυζοκοῦσι. τὸ δὲ, ἅμα δὲ καὶ μᾶλλον ὥστερ ἀμφιβητοῦσι τῇ φύσει τῶν μονύχων διχηλόν ἐστι τοιοῦτον ἐστὶ, βούλεται ἡ φύσις μώνυχον, τὸ τοιοῦτον γένος ποιῆσαι ὥστερ δὲ ἀμφισβητοῦσι τῇ φύσει, καὶ οὐ ἀντίως αὐτῇ φερόμενον, ἐκμωνύχου διχηλὰν γίνεσθαι ἐπικρατῆσαν διχηλασῇ, κρατησάσης δὲ τῆς φύσεως, μώνυχον. τελειοῖ δὲ αὐτὰ οὐ αὐτῇ ἡ ὕς καίτοι πολυτοκοῦσα οὖσα, διὰ τὴν δυσπόρειαν, καὶ δυζοκίαν, καὶ λιπαρότητα ζοῦ σώματος, καὶ τῶν πολυτοκούντων ὀργίων, οἱ ἐκτὸς ὠδῶν νεοττοί, ζυφλοὶ ἔρχονται διὰ γαῦ τὴν πολυτοκίαν οὐ γίνεσθαι τὰ κυήματα τοιαῦτα, ὥς τε τὰ ἐξ αὐτῶν τέλεια γίνεσθαι. λέγει δὲ καὶ ὅτι ἄντις τῶν χελιδόνων, πάνυ νέων ὄντων ἐκκινήσῃ τὰ ὄμματα, πάλιν ὑγιάζονται, διαπὶ, διότι ἔτι γίνονται, ἀλλ' οὐ γεγόνασι. τὸ γαῦ γινόμενον κρὸν ἐκκοπῇ, ἢ ἐκκαυτηθῇ, πάλιν φύει διὰ τὴν ὁρμὴν, καὶ τὴν κίνησιν, ᾗ ἔχει ἔτι ἀπὸ ζοῦ δε ᾗς τύδε.

Ὅ λως δὲ φησὶ προτερεῖ μᾶλλ ἡ κύησις, καὶ προγίνεται τῆς τῶν ἐμβρύων τελειώσεως, διὰ τὸ μὴ δύνασθαι τὴν μητέρα θρέψαι, καὶ τελῶσαι δι' οὐδεμίαν ζοφῆς, καὶ ἐμπαλιν ἀτελῆ γίνεται, καὶ πίκτεται, διὰ τὸ προτερεῖν τὴν κύησιν. λέγει δὲ καὶ οὐ ζοῖς ἀνθρώποις, μᾶλλον γίνεσθαι ἀνάπαυμα τὰ ἄρρενα ἢ περ τὰ θήλεα, διὰ τὸ μᾶλλον τῶν θηλειῶν κινεῖσθαι οὐ τῇ μήζρᾳ ὄντα, μᾶλλον δὲ κινοῦντα, διότι καὶ μᾶλλον θερμότερα.

Ὅ λως δὲ προτερεῖ μὲν τῆς τελειογονίας, διὰ τὴν ἀδυναμίαν ζοῦ ἐκ ζρέφειν. ἀτελῆ δὲ γίνεται διὰ τὸ προτερεῖν. ζῷον δὲ θῆλυ καὶ ἐπὶ τῶν ἐπαμύνων. διὰ γαῦ τὸ ἀτελῆ εἶναι, πολλάκις οὐκ αὐτῶν γίνεται οὐδὲ τοὺς πόρους ἔχοντας διηθρωμένους. οἷον ὥπτον καὶ μυκτηρῶν. ἀλλ' ἐπωσχεκνομένοις διαρθροῦται καὶ βιοῦσι πολλὰ τῶν ζιούπτων. γίνεται δὲ ἀνάπαυμα μᾶλλον οὐ τοῖς ἀνοῖς τὰ ἄρρενα, τῶν θηλέων. οὐ δὲ τοῖς ἄλλοις, οὐδὲν μᾶλλον. αἴπιον δ' ὅτι οὐ ζοῖς ἀνοῖς, πολὺ διαφέρει τὸ ἄρρεν ζοῦ θήλεος τῇ θερμότητι τῆς φύσεως. διὸ κινητικώτατα τὰ ἐστὶ κυούμενα τὰ ἄρρενα τῶν θηλέων. διὰ δὲ τὸ κινεῖσθαι, θραύεται μᾶλλον. δῦ θραυστον γαῦ τὸ νέον, διὰ τὴν ἀδυνάμιαν.

Τὸ οὖ τοῖς γυναιξίν, ἴσον ἐστὶ τῷ οὐ τοῖς ὑστέραις ὄντας τῶν γυναικῶν. τὸ δὲ λεγόμενον ἐστὶ λύσις ἀπορίας τινὸς ἀπορεῖ γαῦ, διὰ τί οὐ τῇ μικρᾷ ὄντα τὰ θήλεα, καὶ τὰ ἄρρενα οὐχ ὁμοίως τελειοῦντα, ἀλλὰ τὰ μὲν ἄρρενα οὐ τῷ ἐξόδῳ, ἢ οὐνάπτω μᾶλλον, τὰ δὲ θήλεα οὐ τῷ ὀγδόῳ, ἢ δεκάπτω, τὰ χύτερον ἄρρενα διὰ τὰ ἄρρενα οὐ τῇ ὑστέρᾳ τελειοῦν ται, τὰ δὲ θήλεα βραδύτερον. ὥς τε οὐχ ὁμοίᾳ ἡ τελείωσις ἀμφοῖν, ἀλλ' ἀνομοίᾳ, εἴπερ ἀνόμοιον τὸ τα

Δ ιὰ τὴν αὐτὴν δὲ ζαύτην αἰτίαν καὶ τελειοῦται τὰ θήλεα ζοῖς ἄρρεσιν οὐχ ὁμοίως οὐ ταῖς γυναιξίν. οὐ μὲν γαῦ τῇ μοῖ, οὐ τελείονι χρόνῳ διακρίνεται τὸ θῆλυ ζοῦ ἄρρενος. ἐξελθόντων δὲ, πάντα πρόσθον ἐπιτελεῖται. οἷον ἥβη, καὶ ἀκμή, καὶ γῆρας τοῖς θήλεσιν, ἢ ζοῖς ἄρρεσιν. ἀ δυνέστερα γαῦ ἔσι καὶ ψυχρότερα τὰ θήλεα, τὴν φύσιν. καὶ δεῖ ὑπολαμβάνειν ὥς περ ἀναπηρίαν εἶναι τὴν θηλύτητα, φυσικώ. ἔσω μὲν οὖν διακρίνεται, διὰ τὴν ψυχρότητα βραδέως. ἡ γαῦ διάκρισις, πέψις ἐστί. πέπει δ' ἡ θερμότης.

δῦ πεπτον



δῦ πεπτον δὲ τὸ θερμότερον. ἐκτὸς δὲ, διὰ τὴν ἀδυνέσιαν ζαχὺ σωπάπτει πρὸς τὴν ἀκμὴν ἡ τὸ γῆρας. πάντα γαῦ ζὰ ἐλάπτω, πρὸς τὸ τέλος ἔρχεται θᾶπτον. ὥσπερ ἡ οὐ ζοῖς κατὰ τέχνην ἔργοις, ἡ οὐ ζοῖς ὑπὸ φύσεως συνισταμένοις. διὰ τὸ ἄρρενα μὲν δὲ αἴπιον καὶ οὐ ζοῖς ἀνθρώποις ζὰ διαμυοτοκάμενα θῆλυ καὶ ἄρρεν, ἤπιον σώζεται. οὐ δὲ ζοῖς ἄλλοις, οὐθὲν ἧπιον. ζοῖς μὲν γαῦ πρὸς φύσιν, τὸ ἰσοσθρομεῖν. οὐκ οὖ ἴσοις χρόνοις γινομένης ζῆς διακρίσεως. ἀλλ' ἀνάγκη τὸ ἄρρεν ὑστερεῖν, ἢ τὸ θῆλυ προτρέπειν. οὐ δὲ ζοῖς ἄλλοις, οὐ παρὰ φύσιν.

χὺ τῷ βραδεῖ, ἀλλ' οὐ μᾶλλ τῇ μήζι τὸ θῆλυ ἐπὶ τ' ἀνθρώπων βραδύτερον τελειοῦται, τὸ δ' ἄρρεν ζαχύτερον. θύραζε δ' ἐξελθόντα, ἀναπαλιν, ζαχύτερον γαῦ ᾗς τὴν ἀκμὴν ἡ γωὴ ἔρχεται, καὶ τὴν τ' σώμαζος τελείωσιν, ἣ περ ὁ ἀνήρ. ἡ μᾶλ γαῦ γωὴ σχεδὸν οὐ τῷ πέντε καὶ δεκάτῃ, ὁ δ' ἀνὴρ οὐ τῷ λ', ἔτει. λυᾷ δὲ ταύτην τὴν ἀπορίαν, λέγων, διὰ τὴν αὐτὴν αἰτίαν ζαῦτα συμβαίνει, δι' ὧν καὶ τὸ ἄρρενα μᾶλλον ἀναπαυρα γίνεται ἢ περ τὰ θήλεα. ψυχρότερα γαῦ ὄντα τὰ θήλεα, τελείονος δεῖται χρόνου ᾗς τὸ πεφθῆναι καὶ τελειωθῆναι, τὸ δ' ἄρρεν διὰ τὴν θερμότητα, τὸ χύτερον, τὸ γαῦ θερμότερον, δῦ πεπτότερον. οὐ ᾗς μᾶλ διαζῆζαι τὸ ἄρρενα τὸ χύτερον τελειοῦντα, βραδύτερον δὲ τὸ θήλεα, ἐκτὸς δὲ ἀνάπαλιν. ἀδυνέστερα γαῦ ὄντα τὰ θήλεα διὰ τὴν ψυχρότητα, τὸ χὺ σωπάπτει πρὸς τὸ γῆρας καὶ τὴν φθοράν, τὸ γαῦ ἀδυνέστερα τὸ χύτερον καὶ γηράσκει καὶ φθίνει, ὥς τε διαζῆζαι καὶ πρὸς τὴν ἀκμὴν τὸ χὺ φθάνει, τὸ γαῦ πρότερον καὶ γηράσκειν, καὶ πρότερον ἀκμάζειν. ἄλλως τε φησὶ, ὥσπερ ἡ τέχνη, καὶ ὁ ᾗς τεχνίτης οὐ ὀλίγῳ μὲν χρόνῳ τὸ διένεγκε μᾶλλον φέρει ᾗπεῖν τελειοῖ ἀκρότον, οὐ τολείονι δὲ τὸ ἐκατοντετραμηναῖον, οὕτω καὶ ἡ φύσις τὸ θήλεα ὡς ἐλάπτονα, τὸ χὺ τελειοῖ καὶ ἄγει, ᾗς τὴν ἀκμὴν, καὶ διαζῆζαι καὶ ᾗς τὸ γῆρας, τὸ δ' ἄρρενα βραδέως ὡς μείζονα. καὶ ἐπὶ (ὡς εἴρηται) οὐ ἀνίσοις χρόνοις τελοῦται τὸ ἄρρεν καὶ τὸ θῆλυ, ᾗνίκ' ἂν τὸ γωὴ δύναμα τέκνι, καὶ τὸ μὲν ἐξ αὐτῶν ἄρρεν, τὸ δὲ θῆλυ ἧπιον σώζουσι, ἀλλὰ μᾶλλον σώζοντες, ὅταν μὲν ἄρρενα ἀμφότερα ἧ, (ἴσοι γαῦ ἀμίλοις οἱ τῶν ἀρρένων χρόνοι,) ἢ ἀμφότερα θήλεα, (ἴσοι γαῦ πάλιν καὶ ζούτων οἱ χρόνοι. τὸ δὲ, ἀλλὰ ἀναγκαῖον ἢ τὸ ἄρρεν ὑστερεῖν, ἢ τὸ θῆλυ προτρέπειν, ζοιοῦζόν ἐστι, ᾗ μὲν ὠῶν διὰ μέγεθος, ἄρρεν, τὸ δὲ θῆλυ, ᾗ ἐτελώθη τὸ ἄρρεν οὐ τῷ ἀναίῳ μέρει, οὐκ ᾔρξατο δὲ αὖ τὸ ἡ φύσις αὐτίκα, ἀλλὰ κατέσχεν, ἕως ἂν τε τελείωκε καὶ τὸ θῆλυ, (τετελείωκε δὲ οὐ τῷ δεκάτῳ,) εἶτα ᾔρξατο αὖτα θύραζε, οὐ τῇ αὐτῇ καὶ μιᾷ ἄρᾳ, ὑστέρησε τὸ ἄρρεν, οὐ γαῦ κατὰ ὃν ἔδει χρόνον ᾔρξελθεῖν, ᾔρξηλθον. ᾗ δ' οὐ τῷ οὐναίῳ μέρει ᾔρξελθόν, συνεξῆλθον αὐτῷ καὶ τὸ θῆλυ, ἐπροτρύασε τὸ θῆλυ, οὐ γαῦ οὐ τῷ διεκάπτῳ μέρει ᾔρξηλθεν, ἀλλ' οὐ τῷ οὐναίῳ. ὥστε ᾗ μὲν ὑστερήσει τὸ ἄρρεν, φθαρήσεται ᾔδη, διὰ τὸ τόπον πινὰ κατεξηρανθῆναι, καὶ ὑπερκαῦσαι, χρονοτριβήσαν οὐ ᾗς μετὰ τὴν τελείωσιν. ᾗ δὲ ᾔδη μὲν ᾔρξέλθει κατ' ὃν δεῖ χρόνον, τὸ δὲ οὖλυ προτερήσει, φθαρήσεται τὸ θῆλυ, διὰ τὸ μὴ τέλειον ἀλλ' ἀτελὲς ᾔρξελθεῖν, ἢ καὶ ἀμφότερα φθαρήσονται, διὰ τὸ συμφθείρεσθαι θάτερον ὑπὸ θατέρου. οὐ μὲν οὖν ζοῖς ἀνθρώποις, διὰ ταύτην τ' αἰτίαν τὸ θῆλυ οὐ τῇ ὑστέρᾳ βραδύτερον τελειοῦται τοῦ ἄρρενος, ἔξω δὲ θᾶπτον. οὐ δὲ τοῖς ἄλλοις ζῴοις, διὰ τὸ οὐ ἴσῳ χρόνῳ τελειοῦσθαι τὰ ἄρρενα καὶ θήλεα, οὐ συμβαίνει παρὰ φύσιν ἡ θύραζε τ' ἐμβρύων ἔξοδος.

Σ υμβαίνει δὲ καὶ διαφορὰ περὶ τοὺς κυήσεις ἐπί τε τῶν ἀνῶν καὶ ἐπὶ τῶν ἄλλων ζῴων. τὰ μὲν γαῦ δύθηλεῖ μᾶλλον τοῖς σώμασιν ἐν τελείσον χρόνον. τῶν δὲ γυναικῶν, αἱ πολλαὶ δυσφοροῦσι περὶ τὴν κύησιν. ἔσι μὲν αἴπιον τούτων καὶ διὰ τὸν βίον. ἐβραῖαι γαῦ οὖσαι, τολείονος κέμουσι περιπάματος. ἐπεὶ οὐ οἷς ἔθνεσι πανικτικὸς ὁ τῶν γυναικῶν

Ἡ διαφορὰ τ' γυναικῶν πρὸς τὰ ἄλλα ζῷα περὶ τοὺς κύησις ζοιαύτη ἐστί. τὰ μὲν γαῦ ἄλλα ζῷα περὶ τ' κύησιν, ζουτέστι τὸν τελείονα χρόνον τῆς κυήσεως, δῦ θωσοῦσι, καὶ λιπῶδη, καὶ δι' ζαφῆ τὰ σώματα ἔχουσι, οἷον ᾗ δ' μιῶας κύᾳ, ζοῦς ζᾶς δι' θέμεθ', ἦν δὲ τέτραχα κατ' ὄνθ' ἓν ἓν γι

κον δ' ἐν καιρὸν τοῦ τόκου, λεπόκρεα, καὶ κάπρα σχνα γίνεται. αἱ δὲ γυναῖκες αἱ τοιαῦται, ἀνάπαλιν ἀπ' ἀρχῆς μὲν ἐπὶ τῆς συλλήψεως, μέχρις ἂν σχεδὸν τελεσθῶσι τὸν καιρὸν τοῦ τόκου, ἀχρῶσι καὶ δυσφορεῖσιν, ἀσθενοῦσί τε, καὶ κάπρα σχνοι γίνονται. περὶ δὲ τὸν καιρὸν τοῦ τόκου, οἷον περὶ ὅλην τὴν σίνατον μῆνα, μᾶλλον δι' ἀθυμοῦσι. λυθὲν δὲ τοῦτο, ἀπορρεῖ τὸ σαφῶς, τὸ δὲ τοῦ ὅτε μὲν ἀσθενοῦς ἐπίπονός ἐστι, ὁ δὲ πόνος γυμνάζει τὸν σῶμα. ἐστὶ γὰρ γυμνάζειν τὸ σῶμα, ἰσχυρότερον καὶ βιαστικώτερον ποιεῖ, καὶ πρὸς τοῦτο δυνάμενον κατέχεσθαι. τὸ δὲ λεγόμενον σαφὲς ἔστω, ἢ τὸ οὐ τῇ πραγματείᾳ τοῦτῃ πρότερον ῥηθέντων, ὑπομνησθῶμεν. ἐλέγομεν δὲ τὸ τὸ σῶμα μὴ κατέχόμενον ἰσχυροτέρους ἡμᾶς ἀπεργάζεσθαι, διαζῆν, κἂν ἑκάτερος ἀρθῇ ἀπὸ τῆς γῆς βδελυθείημεν, ἢ ἐκτανέομεν, ἀλλὰ κατέχόμενον οὐχ τὸ τὸ σῶμα, κἂν ἡ τῆς ἐκφάς, ἢ τῆς ὑγρᾶς ἰσοφῆς περίπωσις μὴ ῥᾳδίως ἀφίέχεται, μὴ τότε κατέχόμενον τὸ σῶμα. τούτων ὑπομνησθέντων, τὸ λεγόμενον ἐστὶ τοιοῦτον, τοῖς πονοῦσιν γυμναξὶν ὁ πόνος ποιεῖ τὸ σῶμα, ἰσχυρότερον, καὶ βιαστικώτερον, ὃν δὲ τοιοῦτον, καὶ συσχεθὸν οὐχ ἧττον, οὐ τῷ καιρῷ τοῦ τόκου, καὶ τῆς ὠδῖνος, ἀκοντίζει τὰς χέας τὸ ἔμβρυον, δύναμιν ἔχον ἐκτὸς ποιεῖν, καὶ προσέτι ἐπιτηδειότητα τοῦ κατέχεσθαι, ἀκοντίζει οὖν αὐτὸ ῥᾳδίως, μὴ δύρακε ῥίπτειν. τοῖς δ' ἀγυμνάστοις καὶ μὴ πονοῦσιν, ῥᾳθυμίας διὰ τὸ τοῦ σώματος ἀδυναμίαν, ἐστὶ δὲ τὸ ἀκοντίζειν αὐτὸ, ἢ τε ἰσχὺς σώματος, καὶ τὸ δύνασθαι κατέχεσθαι τὸ σῶμα πάλιν δὲ καὶ τὸ ἐπιθυμεῖν αὐτὸ, τοῖς μὲν οὖν ἀγυμνάστοις ἐστὶν ὁ πόνος γυμνάζειν τὸ σῶμα. τῆς δὲ ἰσχύος καὶ τοῦ κατέχεσθαι τὸ σῶμα πάλιν δύνασθαι κατέχειν. οὐ φ' τὸ πικλῆν ἐστὶ ῥᾳδίως, ἢ χαλεπῶς. ἔστι μὲν οὖν ὡς περ εἴρηται καὶ ἰσοῦτος συμβαλλόμενα πρὸς τὴν διαφορὰν τοῦ πάθους. ἄλλοις ζώοις, καὶ ταῖς γυναιξί. μάλιστα δ' ὅτι τοῖς μὲν οὖν τῶν ὀλίγη γίνεται κάθαρσις. τοῖς δ' οὐκ ἐπίδηλος, ὅλος. τοῖς δὲ γυναιξί, πλείστη τῶν ζώων. ὡς τε μὴ γινομένης τῆς ἐκκρίσεως διὰ τὴν κύησιν, τοῖς μὲν τοιαῦτα παρέχει. καὶ γὰρ μὴ κυούσας, ὅταν αἱ καθάρσεις μὴ γίγνωνται, νόσοι συμβαίνουσι. καὶ τοπρῶτον δὲ τοιαῦτα πάσχουσι συλλαμβάνουσι μᾶλλον αἱ πλεῖσται τῶν γυναικῶν· ὁ γὰρ κύημα κωλύειν μὲν διώκεται τὰς καθαρσεις. διὰ μικρότητα δὲ, οὐδὲν ἀναλίσκει πλῆθος τῆ περιπώματος τοπρῶτον. ὕστερον δὲ κουφίζει μεταλαμβάνον. οὐ δὲ τοῖς ἄλλοις ζώοις διὰ τὸ ὀλίγον εἶναι, σύμμετρον γίνεται πρὸς τὴν αὔξησιν τῶν ἐμβρύων. μὴ ἀναλισκομένων τῶν περιπωμάτων τῶν ἐμποδιζόντων τὴν τροφὴν, δι' ἣν μερεῖ τοῖς σώμασι μᾶλλον. καὶ οὐ τοῖς οὐ ὑσθοις δὲ ἐν αὐ ἐν τρόπον. καὶ οὐ τοῖς ὄρνισιν. ἤδη δὲ μεγάλων γινομένων. τῶν κυημάτων, ὅσοις μὴ συμβαίνει ἢ δι' τροφίαν τῶν σωμάτων, πλῆθος τὴν αὔξησιν τοῦ κυήματος δεῖσθαι πλείονος τῆς περιπωματικῆς τροφῆς. ὀλίγαις δὲ πέπεσι τῶν γυναικῶν, βέλτιον ἔχων τὸ σώματος συμβαίνει κυούσας. αὗται δ' εἰσὶν, ὅσαις μικρὰ τὸ περιτώματος οὐ τῷ σώματι. ὡς τε καταναλίσκεσθαι μᾶλλον τῆς ἐμβρύων τροφῆς.

κρὸν γὰρ



κρὸν γὰρ ἂν, καὶ ὀλιγόσοφον, τὸ μὴ κατεμμένον κωλύει θύραζε ἐξέρχεσθαι, ἐπικείμενον οὐ τῷ στόματι, καὶ τῷ ἰσχνῷ τῆς ὑστέρας. ὀλίγον δὲ ὄν, τὸ ὑπ' αὐτοῦ ἐθιζόμενον, ἀνάγκη τὸ περιπλοῦν ἧττον πολὺ, καὶ ἐμποιεῖν πόνους, καὶ τραχαλὰ, διὰ τὸ ὡς εἴρηται μήτε κατεναλίσκεσθαι ὑπὸ τοῦ ἐμβρύου, μήτε ἐκθιάζειν ἐξιόν. ὕστερον δὲ, μέγα γερονὸς τὸ ἔμβρυον, καὶ πολὺ χρόνον ἰσοφῆ, ἢ οὐδέν τι κατελεῖπεται τοῦ ἐκκρινομένου κατὰ μῆνα, ἢ πάσχειν βραχὺ, καὶ μηδεμίαν ἀναπόμονον ποιεῖν αὐθησιν, ἢ πόνον. τοῦτο δ' οὕτως ἔχοντος, λέγω διεῖ τοῦ ἐμβρύου καὶ πολὺ χρόμονον ἰσοφῆ, κουφίζει τὸ ὀλισθῶν πλὴ μητέρα. διὰ τοῦτην δὴ πλὴ αἰτίαν αἱ γυναῖκες, πρότερον μὲν δυσφοροῦσιν, ὕστερον δὲ δι' ὀλισθοῦσιν. οὐ δὲ τοῖς ἄλλοις ζώοις, πρῶτον μὲν σύμμετρον ὂν τὸ κατὰ μῆνα τῇ τοῦ ἐμβρύου ἰσοφῇ, δι' ὀλισθοῦσι ὕστερον δὲ αὐξηθὲν, καὶ πολύμορον πλεονος ἰσοφῆς, ἢ ὅσην ἀποκρίνει τὸ θῆλυ, ἐδίει τὸ μέλλουσαν προκρίνεσθαι ἐκ ἰσοφὴν τῶν τοῦ θήλεος μερῶν. ἀναγκη δὲ περισκόμενον, τὸ θῆλυ τῆς οἰκίας ἰσοφῆς, ἰσχνοῦσθαι καὶ συμπίπτειν, καὶ ὅλως τοιοῦτον ἀποσχεῖν τοῖς πρότερον. ἔχει δὲ ὧδ' ἐχατο διὰ τοῦ, αἴτιον τὸ πλῆ αὔξησιν τοῦ κυήματος διεῖσθαι πολέμους ἢ τῆς περιπωματικῆς ἰσοφῆς.

Περὶ δὲ τῆς κατὰ μῆνα κάθαρσεως μήνης. ἢ γίνεται μὲν ὀλιγάκις ταῖς γυναιξί. γίνεται δὲ ἐπὶ πλείστον τὸ πάθος, κινούσας. πίκτουσι γὰρ ὁ κατὰ μῆνα μάλιστα. ἢ δὴ γὰρ σωίβη τινὶ γυναικὶ συγγινομένη τῷ ἀνδρὶ, καὶ δεξάσῃ συλλαβεῖν, τὸ μὲν πρῶτον, ὅτε ὄγκος ἡ ὑξάνετο τῆς γαστρὸς, μὴ τοῦ ἄλλα ἐγίνετο κατὰ λόγον. ἐπεὶ δὲ ὁ χρόνος ἐως τοῦ τόκου, οὐ πλεῖστον, οὐ τὸ ὄγκος ἐλάττων ἐγίνετο. ἀλλ' ἔτη τρία ἢ τέτταρα, οὕτω διετέλει. ἕως δύσεν περίας γενομένης, καὶ κινδυνεύουσα ὑπὸ αὐτῆς, ἔτεκε σάρκα, ἐν κατέχουσι μήλιον. ἔτι δὲ καὶ συγκατεγράσκει καὶ σωαποθνήσκει ἐχόμενον τὸ πάθος. τοῦ δὲ ξύραξε ἰχῶνον τῶν τοιούτων, γίνεται σκληρὰ οὕτως, ὡς τε μήλις πλακοῦσθαι καὶ σιδήρεω. περὶ μὲν τοῦ πάθους τῆς αἰτίας, εἴρηται οὐ τοῖς προβλήμασι. πάσχει γὰρ ἴσως ἐν κύημα οὐ τῇ μήτρᾳ, ὅπερ οὐ τοῖς ἐφομοίοις τοῦ μολυσμένα. καὶ οὐ πλὰ θερμότητα ὡς πέρ τινές φασιν. ἀλλὰ μᾶλλον δι' ἀσθένειαν θερμότητος. ἔοικε γὰρ ἡ φύσις δυσαναλῶν καὶ οὐ δυνάσθαι τελεῶσαι. οὐ δὲ ἐπιθεῖναι τῇ γενέσει τὸ πέρας. διὸ καὶ συγκατεγράσκει ἡ πολὺν ἐμονὴ χρόνον. οὔτε γὰρ ὡς τε τελειωμόνον, οὔθ' ὡς πάμπαν ἀλόγιον ἔχει τὴν φύσιν. τῆς γὰρ σκληρότητος ἡ ἀπεψία αἰτία. ἀπεψία γάρ τις καὶ ἡ μόλυνσις ἐστίν. Ἀπορίαν δ' ἔχει, διὰ τί ποτ' οὐ τοῖς ἄλλοις οὐχὶ γίνεται ζώοις, ἢ μήτε πάμπαν λέληθεν. αἴτιον δὲ δεῖ νομίζειν ὅτι μόνον ὑστερικόν ἐστι γυνὴ τῶν ἄλλων ζώων. καὶ περὶ τὰς καθάρσεις πολεμονάζει, καὶ οὐ δυνάται πέπειν ὡς τὰς. ὅταν οὖν ἐκ

Τῆς λέξεως ἡ ἀπόδοσις ἐστὶ, οὐ τῷ, περὶ μὲν οὖν τοῦ πάθους τῆς αἰτίας, εἴρηται οὐ τοῖς προβλήμασι, τὰ δ' ἄλλα λίαν σαφῶς μετεξὺ παρεντεθέντων, ἢ τὰ χα δὲ ἢ ἐρῆσθαι αὐ τῷ λέγει περὶ τῆς μήλης οὐ τοῖς προβλήμασι, ὅμως καὶ οὐτουθα σαφέστατα λέγει ὅπως γίνεται, γίνεται δὲ σκληρὸν, δι' ἀδυνέιαν θερμοῦ. ὥστε καὶ τὰ μεμολυσμένα τῶν κρεῶν, σκληρὰ γὰρ καὶ αὐτὰ δι' οὖ δίδαν τῶν ἑψαντος ὠμὰ, περὶ ὧν μεμολυσμένων, εἴρηται οὐ τῷ δ', τῶν μετεώρων. τοῦτο δ' ἐπῶν, πλὴ αἰτίαν ἐπήγαγε τοῦ πόνου χάριν, ἢ ἄχθι τοῦ τῆς ζωῆς τέλους οὐ τῇ γαστρὶ φέρειν τὴν μήλην ἢ γυνὴ, ἢ ἄχθι πολοῦ. λέγων, ἔοικε γὰρ ἡ φύσις δυσθαναλῶν. λέγων φύσιν πλὴ οὐ τῇ γαστρὶ τοῦ ἄρρενος ψυχικὴν θερμότητα. ὡσθ' ὕστερον ἰσοῦσαι τὴν συσῆσαι τὸ κατεμένιον, τελειῶσαι τε, καὶ πέρας ἐπιθεῖναι τῇ γενέσει, μὴ δυναμένη δὲ διὰ τὴν περβολὴν τῆς τοῦ κατεμλιου, ψυχρότητος, καὶ ὑγρότητος. τότε γὰρ συμβαίνει συνίστασθαι τὴν μήλην, ὅταν ὑπερβάλλη ἡ ψυχρότης, καὶ ἡ ὑγρότης τοῦ κατεμλιου, καὶ σφοδραὶ γένωνται. μὴ δυναμένη οὖν συμπέψαι, μήτε μὴν βουλομένη ἢ θέλη θῦσαι, καὶ οἱονεὶ ἀποθανεῖν, ἀντιμάχεται πρὸς τὸ κατεμένιον, καὶ ζόπον τίνα πόλεμον ἔχει μεθ' αὑτῆς

δυσπέπτου ἰκμάδος συστῇ τὸ κύημα, τότε γίνεται ἡ καλουμένη μύλη, ἔν τε γυναιξὶν ὅλως ἢ μάλιστα ἢ μόναις. τὸ δὲ γάλα γίνεται τοῖς θήλεσιν ὅσα ζωοτοκεῖ ἐν αὑτοῖς. χρήσιμον μὲν εἰς τὸν χρόνον τὸν τοῦ τόκου. τῆς γὰρ τροφῆς χάριν αὐτὸ τῆς θύραζε ἐποίησεν ἡ φύσις τοῖς ζῴοις. ὥστ' ἐλλείπειν αὐτὸ ἐν τῷ χρόνῳ τούτῳ οὐθὲν, οὔθ' ὑπερβάλλειν οὐθέν. ὅπερ καὶ φαίνεται συμπῖπτον, ἂν μή τι γίνηται παρὰ φύσιν. τοῖς μὲν οὖν ἄλλοις ζῴοις διὰ τὸ τὸν χρόνον ἕνα τῆς κυήσεως εἶναι, πρὸς τοῦτον ἅπασι τέτακται τὸν καιρὸν ἡ πέψις αὐτοῦ. τοῖς δ' ἀνθρώποις ἐπεὶ πλείους οἱ χρόνοι, κατὰ τὸν πρῶτον ἀναγκαῖον ὑπάρχειν. διὸ πρὸ τῶν ἑπτὰ μηνῶν, ἄχρηστον τὸ γάλα ταῖς γυναιξί. τότε δὲ ἤδη γίνεται χρήσιμον. εὐλόγως δὲ συμβαίνει καὶ διὰ τὴν ἐξ ἀνάγκης αἰτίαν πεπεμμένον, εἰς τοὺς τελευταίους χρόνους. τὸ μὲν γὰρ πρῶτον ἡ τοῦ τοιούτου περιττώματος ἀπόκρισις εἰς τὴν τῶν ἐμβρύων ἀναλίσκεται γένεσιν. πάντων δ' ἡ τροφὴ τὸ γλυκύτατον καὶ πεπεμμένον. ὥστε ἀφαιρουμένης τῆς τοιαύτης δυνάμεως ἀνάγκη τὸ λοιπὸν ἁλμυρὸν γίνεσθαι καὶ δύσχυμον. τελειουμένων δὲ τῶν κυημάτων, πλέον τὸ περίττωμα τὸ περιγινόμενον. ἔλαττον γὰρ τὸ ἀναλισκόμενον. καὶ γλυκύτερον, οὐκ ἀφαιρουμένου ὁμοίως τοῦ εὐπέπτου. οὐ γὰρ ἔτι εἰς πλάσιν τοῦ ἐμβρύου γίγνεται ἡ τροφή. ἀλλ' εἰς μικρὰν αὔξησιν ὥσπερ ἑστηκὸς ἤδη, διὰ τὸ τέλος ἔχειν τὸ ἔμβρυον. ἔστι γάρ τις καὶ κυήματος τελείωσις. διόπερ ἐξέρχεται καὶ μεταβάλλει τὴν γένεσιν. ὡς ἔχον τὰ αὑτοῦ, οὐκέτι λαμβάνει τὰ μὴ ἑαυτοῦ. ἐν ᾧ καιρῷ γίνεται τὸ γάλα χρήσιμον.

συνεχῆ. ἢ ἄχρι τέλους τῆς ζωῆς τῆς γυναικός, ἢ ἄχρι πολλοῦ. οὔτε γὰρ τετελείωκε ἵνα θύραζε προΐοιτο, οὔτε μὴν ἀλλότριόν ἐστι, (σχέσις γάρ ἐστί τις τῇ τε γονῇ, καὶ τῷ καταμηνίῳ) οὔτε οὕτως ἀλλότριόν ἐστιν ἵν' ἐάσῃ ἐξελθεῖν, ἀλλὰ κατέχει, καὶ πειρᾶται τελειῶσαι. λέγει δὲ τὴν γυναῖκα ὑστερικόν, ἔστι δὲ τὸ ὑστερικόν, ἔστι δὲ τὸ ὑστερικὸν, ἴσον τῷ, πάθη τῆς ὑστέρας ὑφίσταται, οὐδενὸς γὰρ ἄλλου ζῴου ὑστέρα τοσαῦτα, καὶ τοιαῦτα ὑφίσταται πάθη, ὅσα ἡ τῆς γυναικός, τὸ οὖν ποικίλον τῶν παθῶν αἴτιον γίνεται τοῦ μόναις, ἢ μάλιστα ταῖς γυναιξὶ τοῦτο συμβαίνειν τὸ πάθος. τὸ δὲ λεγόμενον περὶ τοῦ γάλακτος τό, ὥστε ἐλλείπειν αὐτὸ ἐν τῷ χρόνῳ τούτῳ οὐδέν, ἴσον ἐστὶ τῷ, ὅτε προγίνεται τοῦ καιροῦ τῆς κυήσεως, οὔθ' ὑστερεῖ, ἀλλ' ἰσοδρομεῖ. κἂν γὰρ ὁρῶνται πολλὰ τῶν ζῴων, καὶ τῶν γυναικῶν αἱ πλείους ἔχουσαι τι γαλακτῶδες, ὅμως οὐκ ἔστι τοῦτο γάλα, ἁλμυρὸν γάρ ἐστι, καὶ οὐκ ἐδώδιμον, γάλα δέ ἐστι ἡνίκα τέκῃ. καὶ τοῖς μὲν ἄλλοις τῶν ζῴων κατὰ τὸν καιρὸν τοῦ τόκου γίνεται τὸ γάλα, ταῖς δὲ γυναιξὶ ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, διὰ τὸ τίκτειν αὐτὰς καὶ ἐν αὐτῷ. τὸ δὲ πρότερον οἷον τὸ ἐμφαινόμενον ἐν τῷ ἕκτῳ μηνί, ἄχρηστόν ἐστι, διὰ τὸ μὴ εἶναι γάλα, ἀλλά τι γαλακτῶδες. ἀποδίδωσι δὲ τὸν λόγον δι' ὃν πρὸ μὲν τοῦ καιροῦ τῆς κυήσεως, ἄχρηστόν ἐστι τὸ γάλα, καὶ ἄπεπτον, τότε δὲ ἐν τῷ καιρῷ τοῦ τόκου πεπεμμένον, καὶ ἐκ τῆς ὕλης, ἣν ἀνάγκην καλεῖν ἔθος αὐτῷ, καὶ ἐκ τῆς οὗ ἕνεκα τοῦ αἰτίου, καὶ τὴν μὲν οὗ ἕνεκά του, ἐσήμανε σαφῶς, τὴν δ' ἐκ τῆς ὕλης οὕτως ἐπάγει λέγων, εὐλόγως δὲ συμβαίνει καὶ διὰ τὴν ἐξ ἀνάγκης, καὶ ὑλικὴν αἰτίαν πεπεμμένον ἤδη εἶναι εἰς τοὺς τελευταίους ἤγουν τοὺς τῆς κυήσεως χρόνους. τὸ μὲν γὰρ πρῶτόν φησι, οὐχ ὅτε δηλονότι πάμπαν ἐστὶ μικρὸν, ἀλλ' ἐν τῷ μεταξὺ μεγέθει τῆς τε τοιαύτης μικρότητος, καὶ τῆς τελειότητος, ἣν εὐθὺς ἀπολαβὸν, εὐθὺς ἔξεισι θύραζε. τὸ μὲν οὖν πρῶτον, ἕλκει τὸ ἔμβρυον τῆς τοιαύτης περιττώσεως ἐξ ἧς τὸ γάλα συνίσταται, τὸ γλυκύτατον, εἰς οἰκείαν τροφήν, πάντων γὰρ τροφὴ τὸ πεπεμμένον καὶ γλυκύτατον, ὥστε ἀνάγκη τὸ λειπόμενον ἁλμυρὸν εἶναι καὶ δύσχυμον, τοιοῦτον γὰρ πάσης τροφῆς τὸ περίττωμα. διὰ ταύτην δὴ τὴν αἰτίαν, ἄχρηστον τὸ πρὸ τοῦ χρόνου τῆς κυήσεως γάλα. τελειουμένων δὲ τῶν κυημάτων, καὶ ἤδη ὄντων πρὸς τὸ θύραζε ἐξελθεῖν, πλέον ἐστὶ τὸ περίττωμα, καὶ δηλονότι καὶ τὸ γλυκύ, τελειωθὲν γὰρ, πάμπαν ἐστὶ τὸ ἑλκόμενον ὀλίγον, καὶ ἀναλισκόμενον,



σκόμενον, δι' ἣν δ' αἰτίαν ἐρεῖ μετ' ὀλίγον. πολὺ δὴ ὄν, καὶ γλυκύ, διὰ τὸ μὴ ὁμοίως ὥσπερ καὶ πρότερον ἕλκεσθαι τὸ γλυκὺ ἀνάγκη καὶ τὸ ἐκ τούτου τότε γινόμενον γάλα γλυκὺ εἶναι. εἰ γὰρ καὶ ἐμμέμικται ἐν αὐτῷ ἁλμυρόν τι, ἀλλὰ διὰ τὸ πλεονάζειν τὸ πεπεμμένον καὶ γλυκύ, οὐδεμία γίνεται αἴσθησις τοῦ ἁλμυροῦ, ὥσπερ οὐδὲ ἐν τοῖς ποταμοῖς τῆς ξηρᾶς, καὶ γεώδους καὶ ἁλμυρᾶς ἀναθυμιάσεως, καίτοι ἐνούσης ἐν τῷ ποταμίῳ ὕδατι. πρότερον μὲν οὖν ἕλκοντος τοῦ ἐμβρύου ἅπαν τὸ γλυκύ, τὸ λειπόμενον ἐστὶ ἁλμυρόν, ὥστε καὶ τὸ ἐκ τούτου γινόμενον γαλακτῶδες ὕστερον δὲ ὀλίγον ἕλκον, ἀναγκαῖον εἶναι γλυκύ, ὥστε καὶ τὸ ἐκ τούτου γάλα καὶ μάλιστα εἶναι γλυκύ. ὅταν θύραζε ἐξέλθοι, οὐδ' ὅλως ἕλκεταί τι τοῦ γλυκέος, ἀλλ' ἅπαν ἀνέρχεται εἰς τοὺς μαστούς, τὰ μὲν οὖν λεγόμενα τοιαῦτα, τὰ δὲ κατὰ τὰς λέξεις. τὸ μὲν ἔστι γάρ τις καὶ κυήματος τελείωσις, κατασκευαστικόν ἐστι τοῦ, διατί τελειωθὲν τὸ ἔμβρυον πάμπαν ὀλίγον τροφὴν ἕλκει, τὸ δὲ λεγόμενον ἐστὶ δυνάμει τοιοῦτον. ὥσπερ γάρ ἐστι τελείωσις καὶ ἡμῖν καὶ πᾶσι τοῖς ζῴοις, εἰς ἣν φθάσαντες οὐκέτι αὐξόμεθα, ἢ ἀκμάζομεν, ἀλλὰ πᾶν τοὐναντίον πάσχομεν, οὕτως ἐστὶ καὶ τοῖς ἐμβρύοις ὡς ἐμβρύοις τέλος, ἐν ᾧ γινόμενα, οὐκέτι λαμβάνειν ἐθέλει ἐκ τῆς ὑστέρας τὴν τροφήν, ἀλλότριος γὰρ αὐτῷ αὕτη, οἰκεία μὲν γὰρ πρὸ τοῦ τελειωθῆναι, ἀλλότριος δὲ μετὰ τὴν τελείωσιν. ὥσπερ καὶ ἡμεῖς θύραθεν τελειωθέντες, οὐκέτι θηλάζειν τὰς μητέρας βουλόμεθα, ἀλλ' ὡς ἀλλοτρίας ἡμῖν ἤδη ταύτης οὔσης τῆς τροφῆς, καίτοι πρότερον οἰκείας οὔσης. ἐν ᾧ οὖν γινόμενα τὰ ἔμβρυα τέλει, καὶ μηκέτι ἐκ τῆς ὑστέρας τὴν τροφὴν λαμβάνειν ἐθέλοντα, μήτε ἐν αὐτῇ μένειν, ἐξέρχεται θύραζε, καὶ μεταβάλλει τὴν γένεσιν, ἤτοι ἐξ ἄλλου τόπου, εἰς ἄλλον γίνεται. ἤδη γὰρ ἔχει πάντα τὰ ἑαυτοῦ μέρη, καὶ οὐδέν τι ἐλλείπει αὐτῷ, οὐδὲ βούλεται λαμβάνειν τὸ μὴ ἑαυτοῦ. εἴρηται γὰρ ὅτι ἀλλότριος αὐτῷ αὕτη ἡ τροφή, καὶ οὐκ οἰκεία, τὰ μὲν οὖν κατὰ τὴν λέξιν τοιαῦτα. ἡ δὲ τῆς λέξεως ἀπόδοσις τοιαύτη, τελειουμένων δὲ τῶν κυημάτων καὶ ἐφεξῆς τ' ἄλλα πάντα καὶ ὑποστικτέον εἰς τό, καὶ οὐκέτι λαμβάνει τὸ μὴ αὐτοῦ. εἶτα ἐπακτέον ὡς ἀπόδοσιν τοῦ λόγου, τό, ἐν ᾧ καιρῷ γίνεται τὸ γάλα χρήσιμον, ἴσον ὂν τῷ, διὰ τοῦτο ἐν τῷ καιρῷ τοῦ τόκου, γίνεται τὸ γάλα χρήσιμον.

Εἰς δὲ τὸν ἄνω τόπον καὶ τοὺς μαστοὺς συλλέγεται, διὰ τὴν ἐξ ἀρχῆς τάξιν τῆς συστάσεως. τὸ μὲν γὰρ ἄνω τοῦ ὑποζώματος, τὸ κύριον τοῦ ζῴου ἐστί. τὸ δὲ κάτω, τῆς τροφῆς καὶ τοῦ περιττώματος. ὅπως ὅσα πορευτικὰ τῶν ζῴων ἐν αὑτοῖς ἔχοντα τὴν τῆς τροφῆς αὐτάρκειαν, μεταβάλλῃ τοὺς τόπους. ἐντεῦθεν δὲ καὶ ἡ σπερματικὴ περίττωσις ἀποκρίνεται, διὰ τὴν εἰρημένην αἰτίαν. ἐν τοῖς κατ' ἀρχὰς λόγοις. ἔστι δὲ τό, τε τῶν ἀρρένων περίττωμα καὶ τὰ καταμήνια τοῖς θήλεσιν, αἱματικῆς φύσεως. τούτου δ' ἀρχὴ καὶ τῶν φλεβῶν, ἡ καρδία. αὕτη δὲ ἐν τοῖς μορίοις τούτοις. διὸ πρῶτον ἐν ταῦθα ἀναγκαῖον γίνεσθαι τὴν μεταβολὴν ἐπίδηλον τῆς τοιαύτης περιττώσεως. διόπερ αἵ τε φωναὶ μεταβάλλουσι καὶ τῶν ἀρρένων καὶ τῶν θηλειῶν, ὅταν ἄρχωνται σπέρμα φέρειν. ἡ γὰρ ἀρχὴ τῆς φωνῆς ἐντεῦθεν. ἀλλοία δὲ γίνεται, ἀλλοίας γινομένης τοῦ κινοῦντος. καὶ τὰ περὶ τοὺς μαστοὺς αἴρεται καὶ τοῖς ἄρρεσιν ἐπιδήλως. μᾶλλον δὲ τοῖς θήλεσι. διὰ γὰρ τὸ κάτω τὴν ἔκκρισιν γίνεσθαι πολλήν, κενὸς ὁ τόπος γίνεται ὁ τῶν μαστῶν αὐταῖς καὶ σομ

Διὰ τούτων τὴν αἰτίαν προτίθεται εἰπεῖν τοῦ διατί συλλέγεται εἰς τοὺς μαστοὺς τὸ καταμήνιον, ἐξ οὗ καταμηνίου, καὶ ἐν οἷς μαστοῖς, γίνεται τὸ γάλα. ὅπερ ταυτόν ἐστι τῷ, διατί κάτωθεν ἄνω. ἀλλὰ πρὸς τοῦτο λέγει τε, καὶ κατασκευάζει, ὅτι κατὰ τὸν καιρὸν τοῦτον καθ' ὃν τὸ γάλα μέλλει γίνεσθαι, κενοὶ γίνονται, καὶ σομφοὶ οἱ μαστοί. συνεργήσει γὰρ τοῦτο αὐτῷ πρὸς τὸ ἀποδοῦναι, τό, διατί κάτωθεν ἄνω προχωρεῖ, καὶ τότε μετὰ τοῦτο ἀποδίδωσι τὴν τοῦ προβλήματος αἰτίαν. συλλέγεται οὖν φησὶ εἰς τὸν ἄνω τόπον, διὰ τὴν ἐξ ἀρχῆς τάξιν τῆς συστάσεως τῶν ζῴων. ἡ γὰρ τάξις τῆς συστάσεως αὐτῶν, τοιαύτη. πρῶτον μὲν γὰρ γίνεται τὰ ἄνω, τὸ γὰρ κύριον τοῦ ζῴου, καὶ ἐν ᾧ τὸ εἶναι αὐτῷ ἐστί, τὸ ἄνω ἐστὶ τοῦ ὑποζώματος, ὥστε ἀναγκαῖον τοῦτο πρῶτον γίνεσθαι, δεύτερον δὲ τὸ κάτω. χάριν γὰρ τῆς τροφῆς, καὶ

φύς. ὁμοίως δὲ καὶ τοῖς κάτω τοὺς μαστοὺς ἔχουσι. γίνεται μὲν οὖν ἐπίδηλος καὶ ἡ φωνὴ καὶ τὰ περὶ τοὺς μαστοὺς καὶ ἐν τοῖς ἄλλοις ζώοις, τοῖς ἐμπείροις περὶ ἕκαστον γένος. ἐπὶ δὲ τῶν ἀνθρώπων, διαφέρει πλεῖστον. αἴτιον δὲ τὸ πλείστην εἶναι τὴν περίττωσιν ταῖς θηλείαις τούτοις, τῶν θηλειῶν. καὶ τοῖς ἄρρεσι, τῶν ἀρρένων, ὡς κατὰ μέγεθος. ταῖς μὲν τὴν τῶν καταμηνίων. τοῖς δὲ τὴν τοῦ σπέρματος πρόεσιν.

Τ ῶν δὲ ζώων τὰ μὲν ἔστι μονόχροα. λέγω δὲ μονόχροα, ὧν τὸ γένος ὅλον, οὗ χρῶμα ἔχει. οἷον οἱ λέοντες συμπρεσβοὶ πάντες. καὶ ἔξεργον, καὶ ἐὰν ὀρνίθων καὶ ἰχθύων ἐστὶ, καὶ τῶν ἄλλων ζώων. τὰ δὲ πολύχροα μονόλοχροα δὲ λέγω δὲ ὧν τὸ σῶμα ὅλον, πλὴ αὐτὰ πλὴ ἔχει χρόαν. οἷόν ἐστι βοῦς, ὅλος λευκός. καὶ ὅλος μέλας. τὰ δὲ ποικίλα. ἔξεργον δὲ διχῶς τὰ μὲν τῷ γένει. ὥσπερ πέρδαλις καὶ τὰ ὡς. καὶ τῶν ἰχθύων οἱ οἷον αἱ κιχλίμοναι θρᾴττα. τῶν δὲ γένος μὲν ἄπαν ἔστι ποικίλον. γίνονται δὲ ποικίλοι. οἷον βάτες. αἱ μὲν ἔξεργον καὶ οὐ τοῖς ὄρνισιν, οἷον αἱ περιστεραί. καὶ ἄλλα δὲ γένη τῶν αὐτῶν πάντων ὀρνίθων. μεταβάλλει δὲ τὰ ὁλόχροα πολλῷ μᾶλλον τὰ μονόχροα, καὶ ἃ μὲν πλὴ ἀπλῶς, οἷον ἐκ λευκῶν μέλανα καὶ ἐκ μελάνων λευκά. καὶ μεμιγμένα. ἃ δὲ ἀμφοτέρων, διὰ τὸ ὅλῳ τῷ γένει ὑπάρχειν οὐ τῇ φύσει, τὸ μὴ μίαν ἔχειν χρόαν. διὸ κίνητον γὰρ ὑπάρχει ἐπὶ ἀμφότερα ἂν τὸ γένος. ὥστε καὶ ἃ ἄλλα μεταβάλλειν ἢ ποικίλα θαττον μᾶλλον. τὰ δὲ μονόχροα τὸ ἀνάπαλιν. οὐ γὰρ μεταβάλλει, ἂν μὴ διὰ πάθος. καὶ ἔξεργον ἀσαύνειν, ἥδη γὰρ ὠπαι καὶ πέρδιξ λευκὴ ἢ κόραξ. καὶ τρυγὼν, ἢ ἀρκτος. συμβαίνει δὲ ἅπασι ὅταν διαφθαρῇ οὐ τῇ γενέσει. θᾶττον δὲ τὸν ἢ θᾶττον τὸ μικρόν. τὸ δὲ γιγνόμενον, ἧττον. οὐ μικρῷ γὰρ ἡ ἀρχὴ τοῖς γιγνομένοις. μάλιστα δὲ μεταβάλλουσι καὶ τὰ φύσει ὁλόχροα μᾶλλον τὰ, τῷ γένει δὲ πολύχροα, διὰ τὰ ὕδατα. τὰ μὲν γὰρ θερμὰ, λευκὰ ποιεῖ πλὴ ἰξία. τὰ δὲ ψυχρὰ, μέλαινα. ὥσπερ καὶ ἐπὶ τῶν φυτῶν. αἴτιον δ' ὅτι τὰ μὲν θερμὰ, πολὺν ἔχει ἀνθρακα. τὰ δὲ ψυχρὰ ὀλίγον. ὁ δὲ ἀὴρ διαφαινόμενος, λευκότητα ποιεῖ. καθάπερ καὶ ἡν ἀφρόν. διαφέρει μὲν δὴ ὥσπερ καὶ τὰ διέρματα τὰ διὰ πάθος λευκά, τῶν διὰ φύσιν, οὕτω καὶ οὐ τοῖς θριξὶν, ἢ τε διὰ νόσον ἢ καὶ ἡλικίαν. καὶ ἡ διὰ φύσιν λευκότης τῶν ἰχθύων, τῷ τὸ αἴτιον ἕτερον εἶναι. τὰς μὲν γὰρ ἡ φυσικὴ ποιεῖ θερμότης λευκάς. τὰς δ' ἀπὸ λοιπὰ ἰξία. τὸ δὲ

ρᾳ τὸ πυῤῥὸν, ἀλλὰ κἂν μεταβάλλῃ, διὰ πάθος ὡς εἴρηται. οὐ μόνον δὲ τὰ ὁλόχροα μεταβάλλει εἰς ἄλληλα, ἀλλὰ καὶ τὰ ποικίλα. ταῦτα γὰρ εἴπερ μεμιγμένα ἐξ ἀμφοτέρων. ἐκ γὰρ λευκοῦ, καὶ μέλανος τὰ πλεῖστα τῶν ποικίλων. εἰπὼν δὲ ὅτι μεταβάλλει τὰ ὁλόχροα πολλῷ μᾶλλον τῶν μονοχρόων, τὴν αἰτίαν τοῦ μεταβάλλειν ἐπήγαγεν. εἰπὼν, διὰ τὸ ὅλῳ τῷ γένει ὑπάρχειν ἐν τῇ φύσει τὸ μίαν ἔχειν χρόαν. ἐπεὶ γὰρ ἐν τῇ φύσει τοῦ τῶν βοῶν εἴδει ὑπάρχει τὸ μὴ μονόχροον εἶναι, οὐδὲν κωλύει μεταβάλλειν τὰς χρόας. τὰ δὲ μονόχροα τοὐναντίον οὐ μεταβάλλει. οὐ γάρ ἐστιν ἐν τῇ φύσει αὐτῶν τὸ πολλῶν χρωμάτων εἶναι δεκτικά. λέγει δὲ ὦφθαι περδίκα λευκὴν, τοῦτο δὲ λέγει ἂν περὶ τῶν ἀγρίων, ἥμεροι γὰρ πολλοὶ εἰσὶ λευκοὶ, ἐξ ἐπιτεχνήσεως δ' οἶμαι τῶν περὶ αὐτὰς σπουδαζόντων. λέγει δὲ τὴν μεταβολὴν τῶν μονοχρόων ἐν τῇ γενέσει γίνεσθαι. εὐθὺς γὰρ γινομένων, καὶ ὄντων, ἢ ἐν τῇ ὑστέρᾳ, ἢ ἐν τῷ ᾠῷ, μικροῦ τινος γεγονότος πάθους, εὐθὺς διαστρέφεται, καὶ μεταβάλλει, ὥσπερ γὰρ τὸ δὴ τὸ μικρὸν, καὶ βραχύτατον ξύλον εὔθραυστον ἐστὶ πολὺ τοῦ μεγάλου, οὕτω καὶ ἐπὶ τῶν ζώων, τὸ μικρὸν εὔθραυστον. τὸ δὲ ἐν μικρῷ γὰρ ἡ ἀρχὴ τοῖς γινομένοις, ἴσον ἐστὶ τῷ, πᾶν τὸ γινόμενον ἐν τῇ ἀρχῇ, καὶ τῷ χρόνῳ καθ' ὃ γίνεται μικρόν ἐστιν, ὕστερον δὲ αὔξει. ὥσπερ δὲ τὸ φύσει λευκὸν δέρμα διαφέρει τοῦ διὰ νόσον, (εἴπομεν γὰρ ὅτι ἐν τῇ καλουμένῃ λευκῇ νόσῳ, τὸ μὴ λευκὸν δέρμα λευκὸν γίνεται, διὰ δὲ τὸ δέρμα, καὶ αἱ τρίχες,) οὕτω καὶ ἐν ταῖς θριξὶ διαφέρει ἥ τε λευκὴ διὰ νόσον θρὶξ, καὶ ἡ διὰ φύσιν. λευκὴ μὲν οὖν ἐστὶ διὰ φύσιν, ἡ τῶν βοῶν, τῶν κυνῶν, καὶ αἱ λοιπαί. διὰ νόσον δὲ ἥ τε πολιά, διὰ σῆψιν γάρ, καὶ ἡ διὰ τὴν καλουμένην λευ-

λευκὸν, ὁ ἀτμιδώδης ἀὴρ παρέχεται ἐγκλειόμενος, ἐν πᾶσι. διὸ καὶ ὅσα μὴ μονόχροα ἐστὶ, τὰ ὑπὸ τὴν γαστέρα πάντα λευκότερά ἐστι. καὶ γὰρ θερμότερα καὶ ἡ γλυκερώτερα πάντα τὰ λευκὰ ὡς εἰπεῖν εἰσὶ, διὰ τὴν αὐτὴν αἰτίαν. ἡ μὲν γὰρ πέψις γλυκέα ποιεῖ. τὴν δὲ πέψιν τὸ θερμόν. ἡ δ' αὐτὴ αἰτία καὶ τῶν μονόχρων μὲν, μελάνων δ' ἢ λευκῶν. θερμότης γὰρ καὶ ψυχρότης, αἰτία τῆς φύσεως τοῦ δέρματος καὶ τῶν τριχῶν. ἔχει γὰρ ἕκαστον τῶν μορίων θερμότητα οἰκείαν. αἱ γλῶσσαι δ' ἔτι διαφέρουσι τῶν ἁπλῶν καὶ ποικίλων. καὶ τῶν ἁπλῶν μὲν διαφερόντων δὲ, οἷον λευκῶν καὶ μελάνων αἴτιον δὲ τὸ εἰρημένον πρότερον. ὅτι τὰ δέρματα ποικίλα τῶν ποικίλων. καὶ τῶν λευκοτρίχων, καὶ μελανοτρίχων, τῶν μὲν λευκὰ, τῶν δὲ μέλανα. τὴν δὲ γλῶτταν δεῖ ὑπολαβεῖν ὥσπερ ἐν μόριον τῶν ἐξωτερικῶν εἶναι. μὴ ὅτι ἐν τῷ σώματι σκεπάζεται. ἀλλ' οἷον χεῖρα ἢ πόδα. ὥστε ἐπεὶ τῶν ποικίλων τὸ δέρμα οὐ μονόχρων, καὶ τοῦ ἐπὶ τῇ γλώττῃ δέρματος τοῦτ' αἴτιον. μεταβάλλουσι δὲ τὰ χρώματα τῶν ὀρνίθων τινὲς καὶ τῶν τετραπόδων τῶν ἀγρίων ἔνια, κατὰ τὰς ὥρας. αἴτιον δ' ὅτι ὥσπερ οἱ ἄνθρωποι κατὰ τὴν ἡλικίαν μεταβάλλουσι, τοῦτ' ἐκείνοις συμβαίνει κατὰ τὰς ὥρας. μείζων γὰρ ἡ διαφορὰ αὕτη τῆς κατὰ τὴν ἡλικίαν τροπῆς. εἰσὶ δὲ καὶ τὰ παμφαγώτερα ποικιλώτερα ὡς ἐπὶ τὸ πλῆθος εἰπεῖν, εὐλόγως. οἷον αἱ μέλιτται, μονόχροα μᾶλλον ἢ αἱ ἀνθρῆναι καὶ σφῆκες. εἰ γὰρ αἱ τροφαὶ αἴτιαι τῆς μεταβολῆς, εὐλόγως αἱ ποικίλαι τροφαὶ, παντοδαποτέρας ποιοῦσι τὰς κινήσεις καὶ τὰ περιττώματα τῆς τροφῆς. ἐξ ὧν καὶ τρίχες καὶ πτίλα καὶ δέρματα γίνονται. Καὶ περὶ μὲν χρωμάτων καὶ τριχῶν διωρίσθω τὸν τρόπον τοῦτον. Περὶ δὲ φωνῆς ὅτι τὰ μὲν βαρύφωνα τῶν ζώων ἐστί. τὰ δὲ ὀξύφωνα. τὰ δ' εὔτονα. καὶ πρὸς ἀμφοτέρας ἔχοντα τὰς ὑπερβολὰς συμμέτρως. Ἔτι δὲ τὰ μὲν μεγαλόφωνα. τὰ δὲ μικρόφωνα. καὶ λειότητι καὶ τραχύτητι. καὶ εὐκαμψίᾳ. ἀκαμψίᾳ διαφέροντα ἀλλήλων, ἐπισκεπτέον διὰ τίνας αἰτίας ὑπάρχει τούτων ἕκαστον.

κὴν νόσον



κὴν νόσον. καὶ τὰς μὲν φύσει λευκὰς ποιεῖ ἡ φυσικὴ θερμότης, τὰς δὲ διὰ νόσον, ἡ ἀλλοτρία σήπουσα τὸ ἐν αὐταῖς ὑγρόν, ἐγκατακλειόμενος γὰρ ταῖς θριξὶ, καὶ ἐν πᾶσι, ἐν ὅσοις κατακλείεται, ὁ ἀτμιδώδης ἀὴρ λευκὸς ὢν, καὶ θερμὸς φύσει, παρέχεται αὐταῖς φύσει τὸ λευκόν. διὸ καὶ ὅσα μὴ μονόχροα ἐστὶ τὰς ὑπὸ τὴν γαστέρα τρίχας λευκοτέρας ἔχει τῶν ἐν τῷ λοιπῷ σώματι τριχῶν, θερμότερος γὰρ οὗτος ὁ τόπος διὰ τὸ ἐν αὐτῷ κεῖσθαι τὴν κοιλίαν θερμὴν οὖσαν. λέγει δὲ καὶ τὴν γλῶσσαν τῶν ποικίλων ποικίλην εἶναι εὐλόγως, ἐπεὶ γὰρ τὸ ὅλον δέρμα ποικίλον, οὐ γάρ ἐστιν ἡ γλῶττα, εἰ καὶ σκεπάζεται τῷ στόματι, τι τῶν ἐντὸς, οἷά εἰσι ὁ πνεύμων, τὸ ἧπαρ, τἄλλα (οὐδὲν γὰρ τῶν τοιούτων ἔχει δέρμα) ἀλλὰ δεῖ ὑπολαμβάνειν αὐτὴν ὥσπερ τι μόριον τῶν ἐξωτερικῶν, οἷά εἰσι χεῖρες, πόδες, ὦμοι, τὰ ὅμοια. τὸ γὰρ σκεπάζεσθαι αὐτὴν ὑπὸ τοῦ στόματος, οὐδὲν κωλύει αὐτὴν μόριον τι εἶναι τῶν ἐκτὸς καὶ γὰρ πᾶν τὸ σκεπόμενον τῶν ἐντὸς ἐστὶν, ἀλλ' ἐστὶ τινὰ σκεπόμενα τῶν ἐκτὸς. τὸ δὲ μείζων γὰρ διαφορὰ αὕτη τοῖς κατὰ τὴν ἡλικίαν τρόποις, ταῦτα ἐστὶ τῶν προτέρων ἐρρηθέντα. ἔλεγε γὰρ, ὅτι μᾶλλον αἱ ὧραι δύνανται τοῦ γήρως εἰς χρώματος μεταβολὴν, μονόχροοι δὲ εἰσὶν αἱ μέλιτται ὅτι οὐ ποικίλη αὐτῶν ἡ τροφὴ, ἀλλὰ μονοειδής. μόνον γὰρ τὸ μέλι ἐσθίουσιν. αἱ δ' ἀνθρῆναι, καὶ τοῦτο, καὶ ἄλλα τινὰ, ὅτι δὲ εὔτονα λέγει τὰ μεταξὺ ὀξυφώνων, καὶ βαρυφώνων, εἰσὶ γάρ τινα ἃ οὔτε ὀξύφωνα εἰσὶν, οὔτε βαρύφωνα, ἐδήλωσε διὰ τοῦ, καὶ πρὸς ἀμφοτέρας ἔχοντα τὰς ὑπερβολὰς συμμέτρως, λέγων ὑπερβολὰς τὸ ὀξὺ, καὶ τὸ βαρὺ, πρὸς ἃ συμμέτρως ἔχει τὸ εὔτονον. εὔτονον γὰρ ἐστὶν οὗ εὐτόνως γίνεται ἡ φωνὴ, καὶ μήτε ὀξέως, μήτε βαρέως, ὅτι δὲ καὶ ἡ μεγάλη φωνὴ ἑτέρα ἐστὶ τῆς βαρείας, καὶ ἡ μικρὰ τῆς ὀξείας ἐρεῖ προϊών.

Περὶ μὲν οὖν ὀξύτητος καὶ βαρύτητος, τὴν αὐτὴν αἰτίαν οἰητέον εἶναι ὥσπερ ἐπὶ τῆς μεταβολῆς μεταβάλλει νέα ὄντα καὶ πρεσβύτερα. τὰ μὲν γὰρ ἄλλα πάντα νεώτερα ὄντα, ὀξύτερον φθέγγεται. τῶν δὲ βοῶν οἱ μόσχοι βαρύτερον. τὸ δ' αὐτὸ συμβαίνει καὶ ἐπὶ τῶν ἀρρένων καὶ θηλειῶν. ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσι τὸ θῆλυ ὀξύτερον φθέγγεται τοῦ ἄρρενος. μάλιστα δ' ἐπίδηλον ἐπὶ τῶν ἀνθρώπων τοῦτο. μάλιστα γὰρ τούτοις τὴν δύναμιν ταύτην ἀπέδωκεν ἡ φύσις, διὰ τὸ λόγῳ χρῆσθαι μόνους τῶν ζώων, τοῦ δὲ λόγου εἶναι τὴν φωνὴν ὕλην. ἐπὶ δὲ τῶν βοῶν τοὐναντίον. βαρύτερον γὰρ αἱ θήλειαι φθέγγονται τῶν ταύρων. τίνος μὲν οὖν ἕνεκα φωνὴν ἔχει τὰ ζῷα, καὶ τί ἐστι φωνὴ, καὶ ὅλως ψόφος, τὰ μὲν ἐν τοῖς περὶ αἰσθήσεων. τὰ δὲ ἐν τοῖς περὶ ψυχῆς εἴρηται.

Τὸ λεγόμενον ἴσον ἐστὶ τῷ, ἐκ τῆς ἀποδοθείσης αἰτίας τοῦ διατί τὰ πρότερον ὄντα ὀξύφωνα. ὕστερον βαρύφωνα γίνεται, νέα μὲν γὰρ ὄντα ὀξύτερα φθέγγεται, γεραιότερα δὲ βαρύτερα. ἐκ δὴ τῆς αἰτίας ταύτης δῆλον ἔσται, καὶ διατί τὰ μὲν ὀξύφωνα ἐστὶ, καὶ οὐδέποτε μεταβάλλει, τὰ δ' ἀεὶ βαρύφωνα. ἐπὶ μὲν οὖν τῶν ἄλλων ζώων τὰ νέα ὀξύτερα φθέγγεται τῶν μὴ νέων, ἐπὶ δὲ τῶν βοῶν ἔμπαλιν, τὰ νέα οἱ καλούμενοι μόσχοι βαρυφωνότεροι ἐστὶ τῶν πρεσβυτέρων βοῶν. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν θηλειῶν συμβέβηκε. ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσι τὰ θήλεα ὀξύτερα φθέγγεται τῶν ἀρρένων, ἐπὶ δὲ τῶν βοῶν τοὐναντίον. αἱ γὰρ θήλειαι τῶν ἀρρένων, (ἅπερ ἄρρενα ταύρους εἴρηκε) βαρύτερα φθέγγονται. ὅτι δὲ ἐν τοῖς ἄλλοις γένεσι τὰ θήλεα ὀξύτερα φθέγγονται τῶν ἀρρένων, μάλιστα φησὶ ἐπίδηλον ἐπὶ τῶν ἀνθρώπων. μάλιστα γὰρ τούτοις ταύτην τὴν δύναμιν. τουτέστι τὸ ὀξὺ, καὶ τὸ βαρὺ ἀπέδωκεν ἡ φύσις, καὶ διατί τούτοις μάλιστα ἐδήλωσεν εἰπών, διὰ τὸ λόγῳ χρῆσθαι μόνους τῶν ζώων. τὰ γὰρ διὰ λόγου τὰ βουλήματα αὐτῶν ἀλλήλοις δηλοῦντα, μᾶλλον χρῆται τῷ φθέγγεσθαι. τὸ μᾶλλον χρώμενον τῷ φθέγγεσθαι, μᾶλλον χρῆται τῷ ὀξεῖ, καὶ τῷ βαρεῖ. ἐπὶ δὲ τοῦ μᾶλλον χρωμένου τῷ ὀξεῖ, καὶ τῷ βαρεῖ, μᾶλλον δῆλον ποῖα ποίων ὀξυφωνότερα, ὅτι δὲ μᾶλλον οἱ ἄνθρωποι τῶν ἄλλων ζώων χρῶνται τῷ φθέγγεσθαι δῆλον, ἐκεῖνα γὰρ ἢ διὰ λύπην, ἢ δι' ἡδονὴν φθέγγονται. οἱ δὲ ἄνθρωποι, οἱ καὶ διὰ ταῦτα, καὶ δι' ἄλλα πολλά.

Γ' ποσικτέον εἰς τὸ οὗ τῷ παχεῖαν, εἶθ' ὡς ἀποδυτικὸν ζῷου ἐπεὶ δὲ ἐπέξεμε χώραν ζῷου δὲ σωματέσμου, τὸ ζῷου βραδὺν, καὶ τραχέως πότερον τὸ κινοῦν αἴτιον, ἵνα ἢ τὸ πᾶν ζῳοῦν.

Ε' πεὶ δὲ βαρὺ μόν ἐστιν, οὐ τῷ βραδεῖαν εἶναι τὴν κίνησιν, ὀξὺ δὲ οὐ τῷ ταχεῖαν. τοῦ δὲ βραδέως ἢ τοῦ ταχέως πότερον τὸ κινοῦν αἴτιον ἢ τὸ κινούμενον, ἔχει τινὰ ἀπορίαν.

ἐπεὶ δὲ βαρὺ μὴ ἐστὶν οὐ τῷ βραδὺν εἶναι τὴν κίνησιν, ὀξὺ δὲ οὐ τῷ ταχύ, πότερον αἴτιον ἐστὶ τὸ ὀξέως, καὶ τοῦ βαρέως τὸ κινοῦν, ἢ τὸ κινούμενον, τοῦ γὰρ ἀπολυτικοῦ, οἷον φθέγγεται ἡ χορδὴ ἢ δὲ βαρὺ, βραδέως κινοῦσα, ἢν ὑπ' αὐτῆς πληττόμενον ἀέρα, ὀξὺ δὲ, ὅτι ταχέως κινῆται. πότερον δὴ τοῦτο αἴτιον. ἆρ' ὁ κινήσας, καὶ πλήξεις σὰ ἢ, ἢ ἡ κινήσασα, καὶ πλήξασα χορδή; ἢ ἐπὶ τῶν ἐμοίως. ἀρχὴ ἡ κινήσασα χορδὴ, ἢ ὁ κινηθεὶς ὑπ' αὐτῆς ἀήρ; αὐτὴ μὲν δι' ὑμοιομερῆ σωθι ὑμένη, ἀλλὰ τῶν ἀπ' αὐτῆς ἀὴρ ἦν πνεῦμα ὁρίζωμοιον νοῦ ἔρων, καὶ ἕλκει εἰς ἑαυτὸν ἦν θύραθεν ἀέρα, διὰ μεταξὺ τῆς ἰσχάτας ἀρτηρίας, καὶ τοῦ πνεύμονος συστέλλομένου δὲ συστέλλεται αὐτῇ, καὶ ὁ πνεύμων, καὶ ἀκοντίζει ἐκτὸς τὸ εἰσελθὸν πνεῦμα. ἀκοντίζει δὲ αὐτὸ διὰ τοῦ πνεύμονος, καὶ τῆς ἀρτηρίας, δι' ὧν γὰρ ἦσήγαγεν αὐτὸν διὰ τῶν αὐτῶν, πάλιν ἐξακοντίζει. δι' ὑμοίου καὶ ἡ κοιλία, καὶ ὁ πνεύμων οὐ τῇ ἀναπνοῇ. συστέλλονται δὲ οὐ τῇ ἐκπνοῇ. πότερον δῶμα ἀκοντίζόμενος, ἢ πληττόμενος, καὶ κινούμενος ἀὴρ ἐστὶ αἴτιος τοῦ βαρέως, ἢ ὀξέως φθέγγεσθαι τὸ ζῷον, ἀκοντίζουσα, καὶ κινοῦσα κοιλία; ὅτι δὲ πέως τὸ βαρὺ γίνεται οὐ τῷ βραδὺν εἶναι τὴν κίνησιν, τὸ δ' ὀξὺ οὐ τῷ ταχὺν, σχεδὸν πνεῦμα δῆλον.

Η' σιν πινὲς οἱ αἰτιώμενοι τῆς βαρέας φωνῆς, καὶ ὀξυφωνίας τὸ κινούμενον μόνον οἷον ἦν ἀέρα, ὁ οὕτως οὐ βούλεται. οὕτως γὰρ δι' ἀμφότερα συμβαίνειν ταυτὶ τὴν φωνὴν, τό, τε κινοῦν, καὶ τὸ κινούμενον, ἐκεῖνοι δὲ διὰ μόνου τὸ κινούμενον. ἔστιν δὲ φησὶ οἱ λέγουσι τὸ μὲν πολὺ βραδέως κινεῖσθαι τὸ δι' ὀλίγου ταχέως. καὶ ταυτὴν εἶναι αἰτίαν τοῦ τὸ μὲν βαρὺ φωνὰ εἶναι, τὰς δὲ ὀξυφωνα. ἔλεγον γὰρ ἐκεῖνοι, ὡς ἡ μὲν ἐστὶν ὁ κινούμενος ἀὴρ πολὺς, ἀνάγκη βραδέως φέρεσθαι, διὰ τὸ πολὺ ἀέρα βραδέως κινεῖσθαι. ἡ δι' ὀλίγου ὀξέως, διὰ τὸ ἦν ὀλίγον ταχέως κινεῖσθαι. αἱ πᾶσαι δὲ αὐτοὺς λέγων, μέχρι πινὸς λέγειν ἀληθῶς, ὅλως δὲ οὐκ ἀληθῶς. καὶ πῶς μέχρι πινὸς ἀληθῶς λέγουσιν, ἐπισήμανεν ἡμῖν. τῷ μὲν γὰρ κίνει ἔοικεν ὀρθῶς λέγεσθαι, λέγων γένος τὸ ὑποκείμενον, καὶ τὴν ὕλην, αὐτὸν φημὶ τὸν ἀέρα. ἔστι δὲ ὁ λέγει, κατὰ μὲν τὸ γένος, καὶ τὸ ὑλικὸν αἴτιον ὀρθῶς λέγουσιν. ἔστι γὰρ τὸ βαρὺ οὐ μεγέθει τοῦ κινουμένου. ἀνάγκη γὰρ μέγεθος ἔχειν, καὶ πολὺ εἶναι τὸν ἀέρα ἡ μέλει βαρυφθέγξασθαι. ἀλλ' οὐχ ἁπλῶς οὕτως, ἀλλὰ πρὸς τὴν κινοῦσαν ἰσχύν. οὐδὲ χεται γὰρ τὸν κινούμενον ἀέρα αὐτὸν κατ' αὐτὸν εἶναι πολὺν, ἀλλὰ πρὸς τὴν κινοῦσαν ἰσχὺν ὀλίγον. ἐπὶ καὶ ὁ μεγαμεσημναῖος σῖτος αὐτὸς κατ' αὐτὸν πολὺς, ἀλλὰ πρὸς τὴν τῶν γ'. ἢ μύωπα ἰσχὺν πέμπον ὀλίγος. ὅμως κἂν εἴη ὁ κινούμενος ἀὴρ πολὺ, ὅμως εἴη κινοῦσα αὐτὸν διὰμικρὸς μείζων εἴη ὀξυφθέγγεται, καὶ οὐ βαρύ. οὐ διὰ ὅλου ὁρᾶν ἀπλᾶς πολὺς ὁ κινούμενος ἀὴρ, ἀλλ' ἐὰν πλείων ἢ τῆς κινούσης αὐτὸν διαμικρὸς, ἀστε μὴ διαλαθεῖν κινηθέντα ὑπ' αὐτοῦ τοῦ τὸ ταχέως, ἀλλὰ βραδέως. ἔπων δὲ μέχρι πινὸς ἀληθῶς λέγουσι, οὐ ἴστε πρὸς οὓς λέγων. ἢ γὰρ ὀξὺ, καὶ μικρὸν, καὶ βαρὺ φθέγγεσθαι, οὐ ῥᾴδιον τουτέστιν. ἢ γὰρ ἐστὶ ζῷου ἀληθὲς τὸ λεγόμενον, ὅτι μόνον τὸ κινούμενον αἴτιον τὸ βαρέως, ἢ ὀξέως φθέγγεσθαι, οὐκέστι ῥᾴδιον τινὶ τὸ μὲν φθέγξασθαι βαρὺ, καὶ μικρὸν, καὶ καθάπερ φθέγγονται τινὲς βαρὺ, καὶ μέγα, οὕτω φθέγγονται ἅμα βαρὺ, καὶ μικρόν. ἢ δι' ἐστὶ ψόφος, καὶ ἀναγκαῖον τὸ



ναῖον τὸ λέγειν, ἀδιαίρετόν ἐστί τι ἅμα φθέγγεσθαι βαρὺ καὶ μικρὸν, ψόφος, καὶ ἀδιαίρετον καὶ ὧδε ῥητέ ἔπεται, ὡς δὲ ῥητέον τὸ λέγειν, ὅτι μόνος ὁ ἀὴρ ἐστὶν αἴτιος τῆς βαρυφωνίας, καὶ ὀξυφωνίας, πῶς δὲ ἢ τὸ κινούμενον μόνον αἴτιον τῆς ὀξυφωνίας, καὶ βαρυφωνίας; οὐκέτι ῥᾴδιον φθέγγεσθαι βαρὺ, καὶ μικρόν. δῆλον ὡδί. ἐπεὶ γὰρ ὁ μικρὸς φθόγγος, καὶ ἡ μικρὰ φωνὴ γίνεται οὐ κινήσει ὀλίγου ἀέρος, ὡς δοκεῖ ἡμῖν τε καὶ ἐκείνοις, πολλὴ ἡ μὴν δι' ἀθρόαν τοῦ κινοῦντος. εἰ γὰρ εἴη καὶ τὸ κινοῦν ἀθρόον ἐστὶν, καὶ τὸ κινούμενον ὀλίγον τότε γίνεται μικρὰ ἡ φωνή. ἐπεὶ οὖν ὡς εἴρηται ἡ μικρὰ φωνὴ γίνεται οὐ κινήσει ὀλίγου ἀέρος, ἡ δὲ βαρεῖα οὐ κινήσει πολλοῦ, ἀδιαίρετον ἅμα φθέγξασθαι βαρὺ, καὶ μικρὸν, ὡς μὴ γὰρ μικρὸν, ὀλίγον ἀναγκαῖον εἶναι τὸν ἀέρα, ὡς δὲ βαρὺ, πολὺ, ἐπεὶ δ' ἂν ὁ αὐτὸς εἴη, καὶ μείζων, καὶ ἐλάττων ἑαυτοῦ. τὸ δὲ ὁμοίως καὶ βαρὺ, καὶ ὀξὺ, ὅσον ἐστὶ τὸ, ὡς περ οὐ δὲ βαρὺ, καὶ ὀξὺ, ὡς περ γὰρ οὐ διαίρετόν ἐστι φωνὴ ἅμα ὀξεῖα εἶναι, καὶ βαρεῖα, οὕτω οὐδὲ τὸ αὐτὸ μικρὸν, καὶ βαρύ. εἰ τὸ κινούμενον μόνον αἴτιον εἴη τοῦ ὀξέως, ἢ βαρέως, διὰ τε δῶμ ῥητέον ἔσται ἐλάττον βαρὺ, καὶ μικρὸν φθέγξασθαι, καὶ διὰ τὸ δύκειν αὐτοῖς τὸ βαρύφωνον γενναιοτέρας εἶναι φύσεως. οὐδὲν δὲ γενναῖον μικρὸν φθέγγεται. ἐπεὶ δὴ πᾶν βαρὺ γενναιοτέρας ἐστὶ φύσεως, οὐδὲν δὲ γενναῖον μικρὸν φθέγγεται, οὐδὲν ἄρα βαρὺ μικρὸν ἐστί, ἢ διαῤῥητέον ἢ οὐ τοῖς μέλεσι τὸ βαρὺ βέλτιον εἶναι ἔλεγον τῶν σωτόνων, ὅτι τὰ ἀπὸ γενναιοτέρας φύσεως βελτίονα. σωίζονα δὲ μέλη, ὅτι τὰ μεταξὺ ὀξέων, καὶ βαρέων εἴρηται, εἴπομεν. συλλογίζεται δὲ καὶ ἄλλως, ὅτι τὸ βαρὺ τῶν συντόνων βέλτιον, λέγεν, ἡ βαρύτης ὑπεροχή τις, πᾶσα δὲ ὑπεροχὴ τέλειος, πᾶν δὲ τέλειον βέλτιον, ἡ βαρύτης ἄρα βέλτιον τῶν σωτόνων.

Α' Μ' ἐπεισθῆ ἐστὶν ἕτερον τὸ βαρὺ καὶ ὀξὺ οὐ φωνῇ, μεγαλοφωνίας καὶ μικροφωνίας. ἔστι γὰρ καὶ ὀξύφωνα, μεγαλόφωνα, καὶ μικρόφωνα βαρύφωνα. ὡσαύτως. ὁμοίως δὲ καὶ κατὰ τὸν μέσον τόνον ζῴων. πειδὴ δέ τινι ἄνῃ ἄλλο διορίσειε. λέγω δὲ μεγαλοφωνίαν καὶ μικροφωνίαν ἢ πολιόθεν καὶ ὀλιγότητα τῆς κινουμένης. ἢ δὴ κατὰ τὸν λεγόμενον ἔσται διορισμὸν τὸ ὀξὺ καὶ βαρὺ, συμβήσεται τὰ αὐτὰ ἕτερα εἶναι βαρύφωνα καὶ μεγαλόφωνα. καὶ ὀξύφωνα καὶ μικρόφωνα.

Τ ὁ ἄτοπον δὲ τοῦτον ἐπακολουθεῖν βούλεται, λέγω δὲ τὸ μὴ διαλαθεῖν ἅμα βαρὺ, καὶ μικρὸν φθέγξασθαι, ἢ τὸ κινοῦν μόνον ἐστὶν αἴτιον τοῦ πάθους τούτου, πρότερον δὲ δείκνυσιν ὅτι τὸ βαρὺ, καὶ ὀξὺ οὐ φωνή, ἕτερον ἐστὶ τῆς μεγαλοφωνίας, καὶ ὀξυφωνίας δι' οὗτος δυναμοῦμαι φέρεσθαι τοιοῦτην. εἰ πεγὰρ ἄνῃς, ὅτι ἐπεισθῆ τὸ βαρὺ, καὶ μέγα οὐ φωνῇ ταυτόν ἐστιν, ἡ δὴ πος οὐ διαλανθάνει ἅμα βαρὺ, καὶ μικρὸν φθέγξασθαι. λέγει δὲ ὅτι οὐκέστι ταυτὸν τὸ βαρὺ τῇ μεγαλοφωνίᾳ ἀλλ' ἕτερα. ἔστι γὰρ καὶ ὀξύφωνα μεγαφθεγγόμενα, καὶ βαρύφωνα μικρὸν φωνοῦντα, ὁμοίως καὶ κατὰ τὸν μέσον τόνον, τουτέστι κατὰ τὴν σωζονίαν. ἔστι γὰρ σωζονα, καὶ μεγαλόφωνα, καὶ μικρόφωνα πεφυκόν τινι ἄνῃ διορίσειεν, ἢ πάντως ὀλιγότης, καὶ πολιόθης τῆ ἀέρος. ἀστε λέγειν μεγαλόφωνα μὴ οὐ οἷς πολὺς ἐστὶν ὁ κινούμενος ἀὴρ, μικρόφωνα δὲ οὐ οἷς ὀλίγος. ἢ δὲ ῥητέον, καὶ τὸ βαρὺ, καὶ ὀξὺ ἐστὶ κατὰ τὸν ἡρμοσμένον διορισμὸν, τουτέστι κατὰ τὸν αἰτιώμενον λόγον μόνον τὸ κινούμενον ἀέρα, συμβήσεται μηδὲν εἶναι βαρύφωνον μικρόφωνον, μηδ' ὀξύφωνον μεγαλόφωνον διὰ ἂν εἴποιμεν αἴτιον. ἀλλ' ἔστω τὸ αὐτὸ βαρύφωνον, καὶ μεγαλόφωνον, ἢ ὀξύφωνον, καὶ μικρόφωνον.

Α ἴπον δ' ὅτι τὸ μέγα καὶ τὸ μικρόν. καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον, τὰ μὲν ἁπλῶς λέγεται. τὰ δὲ πρὸς ἄλληλα. μεγαλόφωνον μὲν οὖν ἐστὶν οὐ τῷ πολὺ ἁπλῶς εἶναι τὸ κινούμενον. μικρόφωνον δὲ, ὀλίγον. βαρύφωνον δὲ καὶ ὀξύφωνον, οὐ τῷ πρὸς ἄλληλα ταυτὸν ἔχειν τινὶ διαφοράν. ἐὰν μὲν γὰρ ὑπερέχῃ τὸ κινούμενον τῆς τοῦ κινοῦντος ἰσχύος, ἀναγκαῖον βραδέως φέρεσθαι τὸ φερόμενον. ἂν δ' ὑπερέχηται, ταχέως.

Α ἴπον φησὶ τὸ μηδέποτε εἶναι βαρύφωνον μικρόφωνον, ἀλλὰ πᾶν εἴη βαρύφωνον, καὶ μεγαλόφωνον. εἴπερ τὸ κινούμενον μόνον ἐστὶν αἴτιον, ὅτι τὸ μέγα, καὶ μικρὸν, καὶ τὸ πολὺ, καὶ τὸ ὀλίγον, τὰ μὲν, ἁπλῶς λέγεται, τὰ δὲ πρὸς ἄλληλα. καὶ μεγαλόφωνα ἐστὶν οὐ τῷ ἁπλῶς εἶιν μέγα τὸ κινούμενον. μι-

κρόφωνα δὲ οὐ τῷ εἶναι ὀλίγον. βαρύφωνα δὲ καὶ ὀξύφωνα οὐ τῷ πρὸς ἄλληλα. ἂν γὰρ καὶ ὀλίγον ᾖ τὸ κινούμενον ὅμως ὑπερέχαν τῆ κινωῦσης, ἀναγκη φέρεσθαι βαρέου. ᾗ δὲ ἔχει, ἡ βαρὺ φθέγγεσθαι. οὐ γὰρ μόνον δεῖ σκοπεῖν ἁπλῶς ᾗ ὀλίγον τὸ κινούμενον, ἀλλ' ᾗ ὀλίγον, καὶ πρὸς τὴν κινοῦσαν δυνάμιν, καὶ ἰσχύν.

T ὁ δ' ἰσχύον, ἀλλὰ τῇ ἰσχυῶ ὁ τε μᾶλλον κινοῶν, ἐρασθεῖαν ποιεῖται τὴν κίνησιν. ὁ τε δὴ ἀλλ' ὁ κρατεῖν, τοῦ χεῖαν. καὶ τοῦ ἦν ὠῆν λόγον καὶ τῶν κινούντων τοῦ ἀοθενῆ, τοῦ μᾶλλον κινοῶντος τῆς δυνάμεως, βρασθεῖαν ποιεῖται τὴν κίνησιν. τοῦ δὲ ἀλλ' ἀοθένειαν ὀλίγον κινοῶντος, τοῦ χεῖαν. αἱ μὲν οὖν αἰτίαι τῶν ὠὐπιστέων ὦῦται, τοῦ μή τε πάντα τοῦ νέα ὀξύφωνα εἶναι. μήτε βαρύφωνα. μήτε τοῦ πρεσβύτερα μήτε τοῦ ἀρρενα καὶ θήλεα. πρὸς δὲ τούτοις, καὶ τοῦ ζῶντος καμνοντος ὀξὺ φθέγγεσθαι, καὶ τοῦ ζῶντος τὸ σῶμα ἔχοντος. ἔτι δὲ καὶ γέροντας γινομένους, μᾶλλον ὀξυφώνοτέρους γίγνεσθαι, τῆς ἡλικίας οὐ αὐτίας οὔσης τῇ τὸ νέον.

T ὁ λεγόμενον ἔσται δῆλον οὕτως ᾗ πεῖν. ἔστω λόγου χαρίν, ὅτι τὸ μέιζον ὧν δυνάτοι κινεῖν ὁ αἶας, ᾗ κινῶ τως ἐστὶ μεῖζον σῖτος. οὗτος τοίνυν μᾶλλον βραδέως κινήσει, οὐ τούτοις γὰρ περιώριζται τὸ μέιγιστον τῆς αὐτοῦ ἰσχύος. τοὺς δὲ ἑξήκοντα χεῖας, καὶ ἔτι ζῶς πέντε μᾶλλον. ἐστὶ δὲ αἶανζος ἀοτονέστερος ὁ θερσίτης, κεἰ ὦτω ὦῦν ὅτι ἂν δύνατοι κινεῖν, τὸ μέγιστον ᾖσι πέπαρες μέδιμνοι, οὗτος οὖν κινήσει καὶ ζῶς δύο. ἀλλὰ ζοῦτους μὲν ἀνάλογος τῷ αἶαντι τοίχιον, τοὺς δὲ πέπαρας ἐρασθέως. τὸ γὰρ τοῦ μᾶλλον τῷ ἀοθενῆ κινοῶντος τῆς δυνάμεως βραδεῖαν ποιεῖ τὴν κίνησιν, οὐκέτι δηλωτικὸν ὡς ἂν τῷ δύξειεν. ὅτι τῷ ἀοθενῆ, ἢ ὁ αἶας τῶν ἑκατὸν, ἢ ὁ θερσίτης τῶν τεσσάρων κινήσει. κεῖται γὰρ τοιοῦτα ἔτι εἶναι τὸ μέιζονα ὧν δυνάντ' κινεῖν. ἀλλ' ἔστι τὸ λεγόμενον τοιοῦτον τῷ, τοῦ ἀοθενῆ κινοῶντι τῶν ὧν δυνάντ' ἐρᾶστα κινεῖν. ὥριστα γὰρ καὶ ζῶς, κινήσει μὲν ὦῦν καὶ ζοὺς πέντε ἐρᾶστα ὁ αἶας μεδίμνους, καὶ ζοὺς ὀκτὼ, ἀλλὰ καὶ ζοὺς ἑξήκοντα, καὶ ὀκτὼ ἔτως ἐρᾶστα. ὡς ὦῦν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν φθεγγομένων πέντων ὁμοίως ῥητέον. τοῦ μὲν ὦῦν ἀοθενῆ κινοῶντος ἀέρα, τῷ ἔρασθαι κινητικόν, βραδέως ποιοῦντος τὴν κίνησιν, βαρυφθέγγεσθαι. τοῦ δὲ ἀλλ' ἀοθένειαν ὀλίγον κινοῶντος τοῦτ' ἔστι τοῦ δὲ ἀλλ' ἀοθένειαν ἢ ἧττον κινοῶντος τῆς σφῶν δυνάμεως, τοῦ χέος. ᾗ γὰρ καὶ ἀοτονῆς ἡ κινούσα δυνάμις, ἀλλ' ἀκὲ ᾗ τὸ περέχαν τῷ κινουμένου τοῦ χέος αὐτὸ κινήσει. θεὶς δὲ τοῦτο λέγει. ὅτι τῷ τινὰ μὲν τῶν νέων ὀξύφωνα εἶναι, τινὰ δὲ βαρύφωνα. τούτου γὰρ ἐστὶ δηλωτικὸν τὸ, μήτε ἀεὶ πάντα νέα ὀξύφωνα, μήτε βαρύφωνα. ὁμοίως καὶ ζοῦ, τινὰ τῶν πρεσβυτέρων βαρύφωνα, τινὰ δὲ ὀξύφωνα. καὶ ἔτι τινὰ μὲν τῶν θηλείων ζώιοῦτα, τινὰ δὲ ὀξύφωνα. τούτων οὖν πάντων, καὶ τῶν σαφῶς κατολελεγμένων αἰτίαι ἡ ἀνάπόπις τῷ κινοῶντος, καὶ κινουμένου.

Θ εἰ τοὺς αἰτίους, καθ' ἃς τὸ ὀξὺ, καὶ τὸ βαρὺ φθέγγεσθαι συμβαίνει. λέγει, δηλατί τοὺ μὲν τῶν νέων ὀξύφωνά ἐστι, τοὺ δὲ βαρύφωνα, καὶ φησὶ, τοὺ μὲν ὦῦν μᾶλλον τῷ νέων δηλαδὴ δυνάμιαν ὀλίγον κινοῶντα ἀέρα, οὐδὲ γὰρ δύνατοι πολὺν ὄγκον κινῆσαι ἀέρος, σενὴ γὰρ ἡ ἰσχὺς αὐτῶν ἀοτονωτέρα ἐστὶ, καὶ δηλα ὅτι ἔχουσι τὸ μόριον ᾧ κινοῦσι. πολὺ δὲ κινοῦντα, βαρύφθογγά ἐστι. βαρὺ γὰρ τὸ ἔρασθαι νέως κινούμενον. ὁ δὲ πολὺς ἀὴρ, φέρεται βρασθέως. πολλῶ δὲ κινοῦσι ζοῦτα. τοὺ δ' ἄλλα ὀλίγον, δηλα τῷ ἀγγεῖον δ' οὗ πρὸς ὃν φέρεται τὸ τονβῦμα. τῷ ζῶς μὲν διάστημα ἔχειν μέγα, καὶ πολλῶ ἀναγκάζεσθαι ἀέρα κινεῖν.

T ὰ μὲν οὖν τοιαῦτα νεωτέρα ὄντα ἧ ἡλικα, δ' ἀδυναμίαν, ὀλίγον κινοῦντα ἀέρα, ὀξύφωνά ἐστι. τοῦ χὺ γὰρ ὁ ὀλίγος φέρεται. τὸ δὲ τοῦ χὺ, ὀξὺ οὖ φωνῆ. οἱ δὲ μόσχοι καὶ αἱ ἐδόες αἱ ἡλικαι, οἱ μὲν διὰ τὴν ἡλικίαν αἱ δὲ, διὰ τὴν φύσιν τῆς ἡλυτῆτος, οὐκ ἰσχυρὸν ἔχουσι τὸ μόριον ᾧ κινοῦσι. πολὺ δὲ κινοῦντα, βαρύφθογγά ἐστι. βαρὺ γὰρ τὸ ἔρασθαι νέως κινούμενον. ὁ δὲ πολὺς ἀὴρ, φέρεται βρασθέως. πολλῶ δὲ κινοῦσι ζαῦτα. τοὺ δ' ἄλλα ὀλίγον, δηλα τῷ ἀγγεῖον δ' οὗ πρὸς ὃν φέρεται τὸ τονβῦμα. τῷ ζῶς μὲν διάστημα ἔχειν μέγα, καὶ πολλῶ ἀναγκάζεσθαι ἀέρα κινεῖν.

οἰκείας



οἰκείας δυνάμεως ὀξὺ φθέγγεται. ᾗ γὰρ καὶ ἀοτονῆς ἐστὶν ἡ τ νέων ξωάων καρδία, ἀλλ' ὅμως πρὸς τὴν κινηθέντα ἀέρα ἰσχυρὸν ἐστὶν. οἱ δὲ μόσχοι, καὶ αἱ ἡλικαι ἐδες βαρὺ φθέγγονται, διὰ τὸ ἀοτένες ἔχειν τὸ μόριον, ᾧ τῷ διὰ καρδίαν ὦ κινεῖ τὴν ἀέρα. ἀοτονῆ ὅμως ἔχοντα τῷ καρδίαν, ᾗ πολὺ κινοῶντα ἀέρα διὰ τῷ δυσχερίαν τῆς ζαχέας αὐτῆς (τοιοῦτον γὰρ εἶπεν ἀγγεῖον δ' οὗ πρὸς ὃν φέρεται τὸ τονβῦμα), ἐρασθέως κινοῦσιν αὐτὸν, καὶ ᾗσι διαφέρει βαρύφθογγα, ἔχουσι δὲ ἀοτονῆ τῷ καρδίαν. οἱ μὲν μόσχοι διὰ τῷ ἡλικίαν, ἀοτονέστατα γὰρ τὰ νέα. αἱ δὲ βόες, διὰ τῷ ἡλυτῆτα, ἀοτονές γὰρ καὶ τὸ ἦθος. οἱ δὲ ταῦροι, καὶ δυστόκτην ἔχουσι τῷ αὐτηρίαν, καὶ πολὺ ἀέρα κινοῦσι, καὶ διὰτῶς ᾗσιν ὀξύφωνοι, ἔχουσι γὰρ ἰσχυρὸν τὸ κινῆσον μόριον, αὐτῷ λέγω τῷ καρδίαν, ἢ τῆς διὰ τῷ ἰσχυῶ τοιαύτης χεῖας αὐτὸ ἦν κινεῖ. ᾗπερ δ' ὅτι τοὺ ὀλίγον διὰ τὸ ἀγγεῖον, δ' οὗ πρὸς ὃν φέρεται τὸ τονβῦμα, ἐπὶ μὲν ταύτης τῆς αἰτίας ᾗσὶν οἱ μόσχοι καὶ αἱ βόες βαρύφωνες, τοὺς δὲ λοιποὺς τῶν ἀρρένων ὀξύφωνα. προϊούσης δὲ τῆς ἡλικίας, καὶ τῶν μόσχων τοιούτων γινομένων ἐκβαρυφώνων ὀξύφωνα διὰ τὸ ἰσχύειν τῷ καρδίαν, τοὺ δ' ἄλλα ζῶν ἀντίον ᾗ ὀξυφώνων γίνεται αὐτοὺ ἑαυτὸν βαρυφωνότερα, ᾗ διὰ τὸ τελείονα ἀέρα κινεῖν τῆς δυνάμεως. ἔστι δὲ τοιοῦτον ἐστὶ τῷ, διὰ τὸ τελείονα ἀέρα κινεῖν ἢ ὅσον δύνατοι τοὺς χέος κινῆσαι. γίνονται δὲ διὰ τοιῦτο καὶ αἱ γυναῖκες αὐτοὺ ἑαυτῆ βαρυφωνότεραι. καὶ διὰ τοὺς αὐτοὺς αἰτίους, ἀλλὰ ἑαυτῶν μὲν γίνονται αἱ γυναῖκες βαρυφωνότεραι, τῶν δὲ ἀρρένων οὐ διαμῶς, ὅτι θ' ἁ ἀοτονέαν ὀλίγον κινοῦσι. πῶς δὲ ὀλίγον θ' ἁ ἀοτονέαν κινοῦσιν ὀξύφωνοι ᾗσιν εἰρηται, ὅτι καίπερ τῷ καρδίαν ἁ ἀοτονῆ ἔχουσαι, ἀλλὰ ἰσχυρὰ ἐστὶ πρὸς ἣν ὑπ' αὐτῆς κινούμενον ἀέρα, θ' ὣν δὲ αἰτίαν αἱ γυναῖκες ὀξύφωνοι ᾗσὶ, διὰ τῷ αὐτῷ τοιοῦτον καὶ οἱ νοσοῦντες, ὀξὺ γὰρ καὶ οὗτοι φθέγγονται. οἱ δὲ γέροντες ὀξύφωνοι γίνονται, διὰ τὸ ἤδη ἀνιέσθαι τὸ ἐκτῆς καρδίας κινητικὸν βάρος.

ΕΥ ΣΙ μὲν οὖν ἰσχὺς πᾶσιν οὐ ζοῖς νβρίοις. διὸ καὶ ἀκμάζοντα ἰσχύει μᾶλλον, ἀναρθρα γὰρ τὰ νέα μᾶλλον ἢ ἄνβρα. ἔτι δὲ ζοῖς μὲν νέοις οὔπω ἐπιτέτατοι. ζοῖς δὲ γηράσκουσιν ἤδη ἀνίεται ἡ σωζονία. διὸ ἄμφω, ἀοθενῆ καὶ ἀδυνάτα πρὸς τὴν κίνησιν. μάλιστα δ' οἱ ταῦροι νβρεώδεις ἢ ἀκαρδία. διόπερ σωτονον ἔχουσι τὸ μόριον ᾧ κινοῦσι τὸ τονβῦμα.

Ο τι μὲν οὖν ἰσχὺς πᾶσι οὐ τοῖς νβρίοις ἐστὶ, καὶ διὰ νβρέων ἡ κίνησις πάντων τῶν μερῶν οὐ αἵμων ζώων γίνεται. καὶ ὅτι τῶν νβρέων πέντων ὥσπερ καὶ τῶν φλεγῶν ἡ καρδία ἐστὶν ἀρχὴ ἔρχεσθαι πολλαχῆς, τοῦτ' ἔστι δὲ προσέλκεσθαι αὐτῷ τὸ ὑπὲρ τοῦ ἀποδιδῶναι τῷ αἰτίαν καθ' ὣν ζα ἐκτεμνόμενα ὀξὺ φθέγγεται. ἔστι μὲν δὴ ὥσπερ εἴρηται πᾶσι ἡ ἰσχὺς οὐ τοῖς νβρίοις, καὶ διὰ ἔχειν ἀκμάζοντα ἰσχύει μᾶλλον, ὅτι καὶ τὸ νβρέα οὐ τῇ ἀκμῇ ἰσχυρότερα ἐστὶν, ἀναρθρα δὲ τὸ νέα, καὶ ἄνβρα βλάκως ἐπειδὴ γὰρ τὸ ἀρθρα νβρίοις σωπέχοντα, ὅταν ἀοτονῆ τοιοῦτα, ἀναγκαῖον ἢ τὸ ἔξω τὸ οὐ τοιοῦτος ἔχον τὸ ἰσχύν ἀναρθρον εἶναι. ἐπὶ μὲν οὖν τοῖς νέοις φησὶν οὕπω ἐπιτέτακται ἡ καρδία, οὐ δὲ ἰσχύει, ἢ τόνον ἔχει. τὸ δὲ ἔχειν ἐστὶ, μετ' ὀλίγον ᾗσόμεθα. τῶν δὲ γηραιῶν ἤδη ἀνίεται ὁ τόνος.

Γ ἂν μόριον τὸ κινοῦν τὸ πνεῦμα τὴν καρδίαν φησί, ὅτι δὲ καὶ τὸ ἰσχυρῶς τεταμένων μᾶλλον δύναται πλήττειν, δηλοῦσιν αἱ ταῦται χορδαί, αἱ ἰσχυρῶς ταθεῖσαι ὀξύτατα φθεγγόμεναι, καὶ τὰ τόξα πορρώτερα κατὰ πολὺ τοὺς οἰστοὺς πέμποντα, τῶν μὴ ἰσχυρῶς ταθέντων. ἰσχὺν δὲ νευρώδη λέγουσι τὰς φλέβας αἳ νεῦρα μὲν οὐκ εἰσί, νευρώδη δέ, καὶ ἐγγὺς τὴν φύσιν νεύροις. τούτου προρρηθέντος, ῥητέον σύμπασαν τὴν τοῦ Ἀριστοτέλους διάνοιαν, καθ' ἣν οἰόμεθα τοὺς μόσχους, καὶ τοὺς θηλείας βοῦς βαρὺ φθέγγεσθαι, τὰ δ' ἄλλα νέα ὄντα ὀξυφωνεῖν. ὕστερον δὲ γίνεσθαι αὐτὰ ἑαυτῶν βαρυφωνότερα, καὶ πάλιν γηράσκοντα ὀξυφωνότερα, καὶ προσέτι, διατί τὰ ἐκτεμνόμενα πρὸς τὴν τοῦ θήλεος μεταβάλλει φωνήν. οἱ ὄρχεις, καὶ αἱ ὑστέραι προσήρτηνται πρὸς τοὺς σπερματικοὺς πόρους, οἱ δὲ σπερματικοὶ πόροι ἐκ τῆς φλεβὸς ἧς ἀρχὴ ἐκ τῆς καρδίας. ἔχει δὲ αὕτη τὴν ἀρχὴν ἐν τῷ μέρει τῆς καρδίας, τῷ κινοῦντι τὴν φωνήν, τοῦτο δέ ἐστιν ἡ δεξιὰ αὐτῆς κοιλία. ἔχει οὖν τὴν ἀρχὴν ἡ τοιαύτη φλὲψ ἐκ τῆς δεξιᾶς κοιλίας τῆς καρδίας, ἐν ᾗ κοιλίᾳ, καὶ τὸ νεῦρόν ἐστι, δι' οὗ ἡ ψυχὴ τὴν καρδίαν ὁρμᾷ τε, καὶ συστέλλει, καὶ σὺν αὐτῇ τὸ πνεῦμα, ὑφ' οὗ ἡ φωνή. ὥστε ἐπεὶ ἐν τούτῳ τῷ μέρει ἐστὶ τὸ νεῦρον τὸ κινοῦν τὸ ποιητικὸν τῆς φωνῆς πνεῦμα, ἐν αὐτῷ δὲ ἔχει καὶ ἡ φλὲψ τὴν ἀρχήν, καλῶς εἴρηται, ὅτι, ἧς ἡ ἀρχὴ ἐκ τοῦ μέρους τῆς καρδίας ἐστὶ τοῦ κινοῦντος, καὶ ποιοῦντος τὴν φωνήν, ἐν τῷ κινεῖν τὴν καρδίαν, καὶ σὺν αὐτῇ τὸ πνεῦμα, νευρώδους δὲ οὔσης τῆς καρδίας, καὶ ἀρχῆς τῶν νεύρων, οὐδὲν διαφέρει λέγειν αὐτὴν κινεῖν τὰ νεῦρα, ἢ τὰ νεῦρα κινητικὰ εἶναι αὐτῆς. προσήρτηνται οὖν οἱ ὄρχεις ἐν τοῖς σπερματικοῖς πόροις, ὥσπερ ὁ λίθος ὁ τείνων τὴν χορδήν, καὶ αἱ λαιαί. λέγων λαιάς, ἢ τὰς χεῖρας τῶν γυναικῶν ἃς προσά-

ὥσπερ χορδὴν τεταμένην νευρίνην. δηλοῖ δὲ τοιαύτη οὖσα τὴν φύσιν ἡ καρδία τῶν βοῶν, τῷ καὶ ὀστοῦν ἐγγίγνεσθαι αὐτῶν ἐνίαις. τὰ δ' ὀστᾶ, ζητεῖ τὴν τοῦ νεύρου φύσιν. ἐκτεμνόμενα δὲ πάντα εἰς τὸ θῆλυ μεταβάλλει. καὶ διὰ τὸ ἀνίεσθαι τὴν ἰσχὺν τὴν νευρώδη ἐν τῇ ἀρχῇ, ὁμοίαν ἀφίησι φωνὴν τοῖς θήλεσιν. ἡ δ' ἄνεσις παραπλησίως γίνεται, ὥσπερ ἂν εἴ τις χορδὴν κατατείνας, σύντονον ποιήσειε, τῷ ἐξάψαι τὸ βάρος, οἷον αἱ τοὺς ἱστοὺς ὑφαίνουσαι. καὶ αὗται τὸν στήμονα κατατείνουσαι, προσάπτουσι τὰς καλουμένας λαιάς. οὕτω γὰρ καὶ ἡ τῶν ὄρχεων φύσις, προσήρτηται πρὸς τοὺς σπερματικοὺς πόρους. οὗτοι δὲ ἐκ τῆς φλεβὸς ἧς ἡ ἀρχὴ ἐκ τῆς καρδίας πρὸς αὐτῷ κινοῦντι τὴν φωνήν. διόπερ καὶ τῶν σπερματικῶν πόρων μεταβαλλόντων πρὸς τὴν ἡλικίαν ἐν ᾗ δύνανται τὸ σπέρμα ἐκκρίνειν, συμμεταβάλλει καὶ τοῦτο τὸ μόριον. τούτου δὲ μεταβάλλοντος, καὶ ἡ φωνὴ μεταβάλλει. μᾶλλον μὲν τοῖς ἄρρεσι. συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν θηλειῶν. ἀλλ' ἀδηλότερον γίνεται ὃ καλοῦσί τινες τραγίζειν, ὅταν ἀνώμαλος ᾖ ἡ φωνή. μετὰ δὲ ταῦτα, καθίσταται εἰς τὴν τῆς ἐπιούσης ἡλικίας βαρύτητα, ἢ ὀξυφωνίαν. ἀφαιρουμένων δὲ τῶν ὄρχεων, ἀνίεται καὶ ἡ τάσις τῶν πόρων. ὥσπερ ἀπὸ τῆς χορδῆς καὶ τοῦ στήμονος, ἀφαιρουμένου τοῦ βάρους. τούτου δὲ ἀνιεμένου, καὶ ἡ ἀρχὴ κινοῦσα τὴν φωνὴν ἐκλύεται κατὰ τὸν αὐτὸν λόγον. διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν, ἐκτεμνόμενα, μεταβάλλει εἰς τὸ θῆλυ, τήν τε φωνὴν καὶ τὴν ἄλλην μορφήν, διὰ τὸ συμβαίνειν ἀνίεσθαι τὴν ἀρχήν, ἐξ ἧς ὑπάρχει τῷ σώματι ἡ συντονία. ἀλλ' οὐχ ὥσπερ τινὲς ὑπολαμβάνουσιν αὐτοὺς τοὺς ὄρχεις εἶναι σύναμμα πολλῶν ἀρχῶν. ἀλλὰ μικραὶ μεταστάσεις, μεγάλων αἴτιαι γίνονται. οὐ δι' αὐτάς, ἀλλ' ὅτι συμβαίνει ἀρχὴν συμμεταβάλλειν. αἱ γὰρ ἀρχαὶ μεγέθει οὖσαι μικραί, τῇ δυνάμει μεγάλαι εἰσί. τοῦτο γάρ ἐστι τὸ ἀρχὴν εἶναι. τὸ αὐτὴν μέν, αἰτίαν εἶναι πολλῶν. ταύτης δ' ἄλλο ἄνωθεν μηδέν.





πτουσιν εἰς τοὺς στήμονας διὰ τὸ τεῖναι αὐτούς, ἢ τοὺς λίθους, ἀπαιωροῦσι γὰρ λίθους τινὰς ἐν τοῖς στήμοσιν οἱ ὑφαίνοντες ἵνα τείνωσιν αὐτούς. ἐπεὶ οὖν οἱ ὄρχεις, καὶ αἱ ὑστέραι προσήρτηνται ἐν τοῖς πόροις, οὗτοι δὲ ἐν τῇ φλεβί, καὶ αὕτη ἐν τῇ καρδίᾳ. οἱ μὲν ὄρχεις καὶ οἱ πόροι, καὶ αἱ φλέβες ἐοίκασι τῷ τείνοντι λίθῳ τὴν χορδήν, ἡ δὲ καρδία τῇ τεινομένῃ χορδῇ, ἡ δὲ κινοῦσα αὐτὴν ψυχὴ τῷ μουσικῷ, καὶ ὅλως τῷ κινοῦντι τὰς χορδάς. τούτων οὕτως ἐχόντων, ὥσπερ ἐπὶ τῆς χορδῆς τεταμένης οὔσης ἰσχυρὸς γίνεται ὁ φθόγγος, τοῦ λίθου δὲ ἀφαιρεθέντος ἀσθενής, οὕτω καὶ ἐπὶ τῶν ὄρχεων καὶ ὑστερῶν, νέοις μὲν γὰρ οὖσι τοῖς ζῴοις, καὶ μικρῶν ὄντων τῶν ὄρχεων, καὶ ἀβαρῶν, οὐ δύναται τείνειν τὴν καρδίαν. μὴ τεινομένη δὲ ἀδυνατεῖ δι' ἀσθένειαν πολὺν κινῆσαι ἀέρα. εἰ δὲ τοῦτο ἀνάγκη ὀξύφωνα εἶναι καὶ τὰ νέα ἄρρενα, καὶ τὰ νέα θήλεα. ὕστερον δὲ κατὰ τὴν ἡλικίαν καθ' ἣν δύνανται τὸ σπέρμα ἐκκρίνειν, τῶν σπερματικῶν πόρων μεταβαλλόντων, καὶ ἰσχυροτέρων γινομένων, συμμεταβάλλουσιν αὐτοῖς καὶ οἱ ὄρχεις, καὶ αἱ ὑστέραι, καὶ γίνονται μείζους, καὶ βαρύτεροι. τοιούτων δὲ γινομένων τείνεται μᾶλλον ἡ καρδία. ἐπεὶ καὶ ἐν τῇ νευρίνῃ χορδῇ, ὅσῳ ἂν μείζονα ἀπαιωρήσῃς λίθον μᾶλλον τείνεται. μᾶλλον δὲ τεινομένη πλείονα δύναται κινεῖν ἀέρα, διὰ τὴν τῆς τάσεως ἰσχύν. πλείονα δὲ τοῦ ὂν ῥᾳδίως κινῆσαι δύναται. πρῶτον μὲν γὰρ ἀσθενὴς οὖσα, ἐκίνει διὰ τὴν ἀσθένειαν ἐλάττονα τῆς οἰκείας δυνάμεως ὑφ' οὗ συνέπιπτον ὀξὺ φθέγγεσθαι. ὕστερον δὲ μείζονα τῆς οἰκείας δυνάμεως βαρὺ ἤδη γηράσκουσι, διὰ τὸ ἀνίεσθαι ἐν τῷ γήρει τοὺς πόρους κουφότεροι καὶ οἱ ὄρχεις, καὶ αἱ ὑστέραι γίνονται, διὸ πάλιν ὀξυφωνοῦσιν. οἱ μόσχοι δὲ διὰ τὴν ἀρτηρίαν (ὥσπερ εἴρηται) πολὺν κινοῦσιν ἀέρα, ἀλλὰ διὰ τὸ μὴ εἶναι τὴν καρδίαν τεταμένην, τῶν ὄρχεων κούφων ὄντων, βραδέως αὐτὸν κινοῦσι βαρὺ φθέγγονται. ὕστερον δὲ αὐξηθέντων τῶν ὄρχεων, τείνεται. ὥστε τὸν αὐτόν, καὶ ἴσον σχεδὸν ἀέρα ἕλκουσα τῷ ἑλκομένῳ, καὶ πρὸ τοῦ τοὺς ὄρχεις αὐξηθῆναι, ταχέως αὐτὸν κινεῖ. τούτου δὲ οὕτως κινουμένου ἀνάγκη ὀξύτερον φθέγγεσθαι. τὰ δὲ ἐκτεμνόμενα μεταβάλλει εἰς τὴν τῶν θηλέων φωνὴν ἐξ ἀνάγκης διὰ τὰς αὐτὰς αἰτίας. ἀφαιρουμένων γὰρ τῶν ὄρχεων, ἀνίεται καὶ ἡ τάσις τῶν πόρων. ἀνιεμένων δὲ τῶν πόρων ἀνίεται, καὶ ἡ τῆς καρδίας τάσις, ἣ συμβαίνει διὰ τὴν οἰκείαν ἀσθένειαν ὀλίγον, ἐλάττονα δηλονότι τῆς οἰκείας δυνάμεως κινεῖν. ὀλίγου δὲ ὄντος καὶ κινουμένου ταχέως ἕπεται τὸ φθέγγεσθαι ὀξύ, καθάπερ, καὶ τὰ θήλεα. ἡ μὲν οὖν διάνοια σύμπασα τῶν λεγομένων περὶ βαρύτητος, καὶ ὀξύτητος τῶν φθόγγων αὕτη. μετιτέον δὲ ἤδη καὶ τὰ κατὰ τὰς λέξεις. ἔστι δὲ τό, τοῖς μὲν νέοις οὔπω γὰρ ηὔξηνται οἱ ὄρχεις, καὶ αἱ ὑστέραι, ἵνα βαρεῖς γένωνται. τοῦτο γὰρ ἠρξάμεθα πρὸ ὀλίγου, ἀφ' ἧς καὶ ἐλέγομεν τί δὲ τὸ ἐστὶ μετ' ὀλίγον εἰσόμεθα. τοῖς δὲ γηράσκουσιν ἤδη ἀνίεται ὁ τόνος τῆς καρδίας, διὰ τὸ ὥσπερ εἰ ἀπομαραινομένων τῶν ὄρχεων κουφότερον γίνεσθαι, οἱ δὲ ταῦροι σύντονον καὶ τεταμένην ἔχουσιν αὐτήν, διὰ τὸ τῶν ὄρχεων βάρος. ὅτι δὲ τὰ ὀστᾶ ζητεῖ τὴν τοῦ νεύρου φύσιν, δῆλον, καὶ ὡς δὴ γὰρ ἀμφότερα εἰ ἦν δὲ ἂν τὸ τῆς λέξεως κατάδηλον τοιοῦτον. τὰ δὲ νεῦρα ζητεῖ τὴν τῶν ὀστῶν φύσιν. εἰ γὰρ τὰ ἐν τῇ τῶν βοῶν καρδίᾳ νεῦρα μεταβάλλει εἰς ὀστᾶ, ἀλλ' οὐ τὰ ὀστᾶ εἰς νεῦρα. ἐν δὲ τῇ λέξει τῇ, συμμεταβάλλει καὶ τοῦτο τὸ μόριον, μόριον τοὺς ὄρχεις λέγει. τὴν δὲ ἀνωμαλίαν φησὶ τῆς φωνῆς καλοῦσι τραγίζειν, ἣ γίνεται καὶ ἐν τοῖς θήλεσι, ἀλλ' οὐχ ὁμοίως ἐστὶν ἐπίδηλον ὥσπερ ἐν τοῖς ἄρρεσιν. ἀνωμάλου γὰρ ὄντος τοῦ βάρους τῶν ὄρχεων διὰ τὴν συνεχῶς γινομένην αὔξησιν αὐτῶν, ἀνώμαλος γίνεται καὶ ἡ φωνή, ὕστερον δὲ ἠρεμήσαντος τοῦ βάρους, καὶ ἐν τῷ αὐτῷ ὄντος μένει, καὶ ἡ φωνὴ ἐν τῇ αὐτῇ ποιότητι, τοῦτο γάρ ἐστι δηλωτικὸν τό, μετὰ δὲ ταῦτα καθίστανται εἰς τὴν τῆς ἐπιούσης ἡλικίας βαρύτητα. ἐπεὶ δὲ ἐκ τῆς καρδίας ὑπάρχει παντὶ τῷ σώματι ἡ συντονία, καὶ τὸ ἰσχύειν, ἐκλυομένης αὐτῆς, ἀνάγκη τὰ ἐκτεμνόμενα μεταβάλλειν εἰς τὴν τοῦ θήλεως φωνήν, καὶ τὴν ἄλλην μορφήν. ὥστε, διὰ τὸ συμβαίνειν ἀνίεσθαι τὴν ἀρχήν, ἤτοι τὴν καρδίαν, μεταβάλλει τὰ ἐκτεμνόμενα εἰς τὸ θῆλυ. ἀλλ' οὐχ ὥς τινες ὑπέλαβον εἶναι τοὺς ὄρχεις, σύναμμα, καὶ σωρείαν, καὶ σύνοδον πολλῶν ἀρχῶν. ἦσαν γὰρ οἱ λέγοντες, μὴ γάρ, ὥσπερ ἐν τῇ καρδίᾳ μία ἐστὶν ἀρχὴ ἡ τοῦ σφύζειν, καὶ ἐν τῷ ἐγκεφάλῳ ὁμοίως μία ἡ τῶν αἰσθήσεων. ὡσαύτως καὶ ἐν τῷ ἥπατι ἡ τῆς ἐξαιματώσεως, οὕτως καὶ ἐν τῷ ὄρχει. ἀλλ' ἔστιν ἐν τῷ ἐν ὄρχει πολλῶν δυνάμεων, καὶ ἀρχῶν συνδρομή. τεμνομένου δὲ τοῦ ὄρχεως, ἢ τῶν ὄρχεων, συντέμνονται αὐτῷ, ἢ αὐτοῖς καὶ αἱ ἐνοῦσαι δυνάμεις καὶ ἀρχαί, τούτων δὲ τῶν δυνάμεων, καὶ ἀρχῶν ἀφαιρουμένων, μεταβάλλειν ἀνάγκη τὸ ζῷον. οὐ διὰ οὖν (ὥσπερ εἴρηται διὰ τὸ εἶναι ἐν αὐτοῖς σύναμμα πολλῶν ἀρχῶν τοῦτο συμβαίνει, ἀλλ' ὅτι μι-

κραὶ μεταστάσεις μεγάλων μεταστάσεων αἴτιαι γίνονται. οὐ δ' αὐτὰς, ἀλλ' ὅταν συμβαίνει αὐ-
ταῖς ἀρχὴν συμμεταβάλλειν, ὥσπερ κἀνταῦθα. τῇ γὰρ ἐκτομὴ, καὶ μεταστάσει τῶν ὄρχεων, συμ
μετέβαλεν ἡ ἀρχὴ, ἤτοι ἡ καρδία. ὄργανα γὰρ ἔχει τοὺς σπερματικοὺς πόρους ἡ καρδία, καὶ τοὺς
ὄρχεις. ἀναγκαῖον οὖν μεταβαλλόντων τῶν ὄρχεων μεταβάλλειν καὶ τὰς ἀρχὰς τούτων δὲ μετα
βαλλουσῶν τὰ ζῶα. ὅτι δὲ τῶν ὀργάνων μεταβαλλόντων, μεταβάλλουσι καὶ τὰ χρώματα αὐτοῖς,
δῆλον ἀπό τε τῶν ὀμμάτων, καὶ ἄλλων πολλῶν. αἱ γὰρ ἀρχαὶ τῷ μεγέθει οὖσαι μικραὶ, (ὑπὸ πολ-
λαπλάσιος γὰρ ἡ καρδία τῆς τοῦ ζώου ὁλότητος) τῇ δυνάμει μεγάλαι εἰσὶν, ὥστε τούτω γὰρ οὐσίωτε
ἡ ἀρχὴ, καὶ τὸ εἶναι αὐτῆς ἐστὶν, ἐν τῷ αὐτὴν μὲν εἶναι πολλῶν αἰτίαν, ταύτης δὲ ἄνωθεν μηδὲν
εἶναι ἄλλο αἴτιον. εἰ δὲ ἔστι, ἐπικῶς μεγάλη εἶναι τῇ δυνάμει λέγεται.

Γ ρὸς ταῖς εἰρημέναις αἰτίαις λέγει
συμβάλλεσθαι τὸ, τὰ μὲν εἶναι βα
ρύφωνα φύσις, τὰ δὲ ὀξύφωνα, καὶ
τὴν θερμότητα, καὶ ψυχρότητα
τοῦ τόπου. οἱ γὰρ ἐν θερμοτέραις
χώραις οἰκοῦντες ἄνθρωποι βα-
ρυφωνότεροι εἰσὶ τῶν ἐν ψυχροτέ
ρων οἰκούντων. ἔστι δὲ καὶ ἐπὶ
πτηνῶν καὶ τῶν ἄλλων ἁπάντων
ὅσα φθέγγεται συμβέβηκε. τὸ δὲ
θερμὸν πνεῦμα διὰ παχύτητα ἔ-
χει ἐγκατα μεμιγμένων πολὺ τὸ
γεῶδες ἤτι τὴν γεηρὰν ἀναθυμία
σιν. ὃ ποιεῖ αὐτὸ ἅμα καὶ παχὺ, καὶ
βαρὺ, διὰ οὖν παχύτητα, καὶ δη
λονότι καὶ βαρύτητα, βραδέως
κινούμενον ποιεῖ βαρυφωνίαν. τὸ δὲ
ψυχρὸν τοὐναντίον ὀξυφωνίαν.
δῆλον δὲ ἔστι καὶ ἐπὶ τῶν αὐλῶν,
καὶ τῶν αὐλούντων. τῶν γὰρ διὰ
τῶν αὐλῶν αὐλούντων οἱ θερμό-
τερον πνεῦμα προϊέμενοι, ὁ ποῖον
οἱ αἰάζοντες, βαρυτέρως αὐλοῦ-
σιν. τοῦ δὲ ζαχεῖαν εἶναι, καὶ λείαν
τὴν φωνὴν, καὶ ὅλως πάσης τῆς
τοιαύτης ἀνωμαλίας αἴτιον ἡ ζα-
χεῖα ἀρτηρία. ταύτην γὰρ εἶπεν
ὄργανον, δ' οὗ φέρεται ἡ φωνή. ὅτι
δὲ ζαχύτητα ἐμποιεῖ ὅταν ἐγγέ
νηται ὑγρότης ἐν αὐτῷ, δῆλον. ἡ
μὲν γὰρ μαλακὴ ἀρτηρία δυνά-
ται τὰ μιβύεσθαι, τουτέστιν ἄρισα
συστέλλεσθαι, καὶ εὐρύνεσθαι, καὶ
ὅλως παντοδαπὴς γίνεσθαι, εὐ-
κάμπτου δὲ αὐτῆς οὔσης, ἡ δίστη γί
νεται ἡ φωνὴ, καὶ τὴν ἀκοὴν ἡ δύ-
ουσα τὸ δὲ τὰ μιβύεται, καὶ γὰρ
ῥάδιον τοῦ πνεύματος οὕτως ἀνα-

Τ ῷ δὲ φύσει τὰ μὲν τοιαῦτα συνίστασθαι τῶν ζώων, ὥστε
βαρύφωνα εἶναι τὰ δ' ὀξύφωνα, συμβάλλεται καὶ ἡ θερ
μότης τῶν τόπου καὶ ἡ ψυχρότης. τὸ μὲν γὰρ θερμὸν πνεῦμα,
διὰ παχύτητα ποιεῖ βαρυφωνίαν. τὸ δὲ ψυχρὸν, διὰ λε-
πτότητα τοὐναντίον. δῆλον δὲ ἔστι καὶ ἐπὶ τῶν αὐλῶν.
οἱ γὰρ θερμοτέρῳ τῷ πνεύματι χρώμενοι καὶ τοιοῦτον
προϊέμενοι οἷον οἱ αἰάζοντες, βαρύτερον αὐλοῦσι. τῆς δὲ
τραχυφωνίας αἴτιον καὶ τοῦ λείαν εἶναι τῶν φωνὴν καὶ πά
σης τῆς τοιαύτης ἀνωμαλίας. τὸ, τὸ μόριον καὶ τὸ ὄργανον
δ' οὗ φέρεται ἡ φωνὴ, τραχὺ ἢ λεῖον εἶναι. ἢ ὅλως ὁμαλὸν ἢ
ἀνόμαλον. δῆλον δ' ὅταν ὑγρότης ὑπάρχῃ περὶ τὴν ἀρ-
τηρίαν, ἢ τραχύτης γένηται ὑπότινος πάθους. τότε γὰρ καὶ
ἡ φωνὴ γίνεται ἀνώμαλος. τῆς δ' αὐκαμψίας μαλακὸν,
ἢ σκληρὸν τὸ ὄργανον. τὸ μὲν γὰρ μαλακὸν, δυνάται τα-
μιβύεσθαι. καὶ παντοδαπὸν γίνεσθαι. τὸ δὲ σκληρὸν οὐ δύ
ναται. καὶ τὸ μὲν μαλακὸν καὶ μικρὸν, δυνάται καὶ μέγα
φθέγγεσθαι. διὸ καὶ ὀξὺ καὶ βαρύ. τὰ μιβύετε γὰρ ῥᾳδίως
ὑπὸ τοῦ πνεύματος καὶ αὐτὸ γινόμενον ῥᾳδίως μέγα καὶ μι
κρόν. ἡ δὲ σκληρότης ἀτὰ μιβύτον. Περὶ μὲν οὖν φωνῆς
ὅσα μὴ πρότερον ἐν τοῖς περὶ αἰσθήσεως διώρισται καὶ ἐν
τοῖς περὶ ψυχῆς, τοσαῦτα εἰρήσθω. Περὶ δὲ ὀδόντων, ὅτι
μὲν οὐχ ἑνὸς χάριν οὐδὲ πάντα τοῦ αὐτοῦ ἕνεκα τὰ ζῶα
ἔχουσιν, ἀλλὰ τὰ μὲν πρὸς τροφὴν τὰ δὲ καὶ πρὸς τὸν ἐν
τῇ φωνῇ λόγον, εἴρηται πρότερον. διότι δ' οἱ μὲν πρόσθιοι
γίνοντε πρότερον, οἱ δὲ γόμφιοι ὕστερον, καὶ οὗτοι μὲν οὐκ ἐκ-
πίπτουσιν, ἐκεῖνοι δὲ ἐκπίπτουσι καὶ φύονται πάλιν, τοῖς
περὶ γενέσεως λόγοις τὴν αἰτίαν, συγγενῆ δεῖ νομίζειν.

γνωστέον,



γνωστέον, καὶ γὰρ ῥάδιον τὰ μιβύεται τοῦ πνεύματος, ἐστὶ δὲ τὸ λεγόμενον, καὶ γὰρ ῥᾳδίως ὑπὸ τοῦ
πνεύματος κάμπτεταί τε, καὶ παντοδαπὰ γίνεται, ἤτοι μέγα, καὶ μικρὸν, ἡ δὲ σκληρότης ἀτα-
μίβυτον.

Ε ἴρηκε μὲν οὖν περὶ αὐτῶν καὶ Δημόκριτος. οὐ καλῶς δ' εἴ
ρηκεν. οὐ γὰρ ἐπὶ πάντων σκεψάμενος καθόλου λέγει τῶν
αἰτίαν. φησὶ γὰρ ἐκπίπτειν μὲν διὰ τὸ πρὸ ὥρας γίνεσθαι
τοῖς ζώοις. ἀκμαζόντων γὰρ ὡς εἰπεῖν φύεσθαι κατά γε
φύσιν. τοῦ δὲ πρὸ ὥρας φύεσθαι, τὸ θηλάζειν αἰτιᾶται. καί
τοι θηλάζει γε καὶ ὗς. οὐκ ἐκβάλλει δὲ τοὺς ὀδόντας. ἔτι
δὲ τὰ καρχαρόδοντα. θηλάζει μὲν πάντα οὐκ ἐκβάλλει
δὲ ἔνια αὐτῶν πλὴν τοὺς κυνόδοντας. οἷον οἱ λέοντες. τοῦτο
μὲν οὖν ἥμαρτε καθόλου λέγων, οὐ σκεψάμενος τὸ συμβαῖ-
νον ἐπὶ πάντων. δεῖ δὲ ἔστι ποιεῖν. ἀνάγκη γὰρ τὸν λέγον-
τα καθόλου τί, λέγειν περὶ πάντων.

Γ ερὶ μὲν οὖν τοῦ τίνος ἕνεκα τοὺς
προσθίους ὀδόντας πίπτειν, καὶ
ἄλλους φύειν πάλιν, λέγει εἴρηκε
καὶ Δημόκριτος. οὐ καλῶς δὲ, διὰ
τὸ τὴν αἰτίαν ἣν ἀποδέδωκε μὴ
ἐφαρμόζειν ἐπεὶ πάντων, μὴ δ'
εἶναι καθόλου. ἔλεγε οὖν ὁ Δη-
μόκριτος πίπτειν αὐτοὺς, διὰ τὸ
πρὸ ὥρας, καὶ παρὰ φύσιν φύειν.
τότε καθ' ὃν καιρὸν καὶ φύουσιν,
ἄρχονται δὲ φύειν ὡς εἰπεῖν ἐν τῷ
δευτέρῳ ἔτι τῆς ἡλικίας οἱ ἄν-
θρωποι. πρὸ ὥρας οὖν φησὶ φύου-
σιν τὸ δὲ πρὸ ὥρας, καὶ παρὰ φύ-
σιν, οὐ θέλει μένειν, καὶ ἐπιπολὺ,
τὸν δὲ κατὰ φύσιν καιρὸν τῆς τῶν
ὀδόντων ἐκφύσεως, τὸν τῆς ἥβης εἶναι ἔλεγεν. ἐστὶ δὲ ὁ τῆς ὕβης χρόνος τὸ ἕβδομον, καὶ ὄγδοον
ἔτος τῆς ἡλικίας, καὶ ἐφεξῆς ἄχρι τῶν ιη. ἢ καὶ κ. τοῦ δὲ πρὸ ὥρας, καὶ παρὰ φύσιν φύειν,
ἠτιᾶτο τὸ θηλάζειν, διότι γὰρ φησὶ θηλάζουσι. βλαστάνουσι. μήποτε δὲ οὐχ ἁπλῶς αὐτὸ τὸ θηλά-
ζειν Δημόκριτος ἠτιᾶτο, ἀλλὰ διὰ τοῦ θηλάζειν τὸ γάλα ἠνίττετο, τὸ γὰρ γάλα θερμὸν ὂν (ὡς
καὶ Ἀριστοτέλης μετ' ὀλίγον ὀρεῖ,) ποιεῖ βλαστάνειν τοὺς ὀδόντας. αὐξητικὸν γὰρ τὸ θερμὸν,
διὸ καὶ τὰ θερμοτέρω χρώμενα γάλαττι θᾶττον ὀδοντοφυεῖ. θεῖς δὴ τὴν δημοκρίτειον δόξαν, ἐ-
νίσταται πρὸς αὐτὴν λέγων. εἰ διὰ τὸ θηλάζειν συμβαίνει παρὰ φύσιν φύειν τοὺς ὀδόντας, καὶ ἐπὶ
τούτῳ πίπτουσι, θηλάζει καὶ ὗς, καὶ πάντα τὰ καρχαρόδοντα. εἰ δὲ ἔστι παρὰ φύσιν, ἄρα καὶ
πρὸ ὥρας καὶ οἱ τούτων ὀδόντες φύουσιν, ἔδει οὖν πίπτειν, οὐ πίπτουσι δέ.

Ε' πεὶ δὲ τὴν φύσιν, ὑποτιθέμεθα, ἐξ ὧν ὁρῶμεν ὑποτιθέμενοι,
οὔτ' ἐλλείπουσαν οὔτε μάταιον οὐδὲν ποιοῦσαν τῶν ἐνδεχο-
μένων περὶ ἕκαστον. ἀνάγκη δὲ τοῖς μέλλουσι λαμβάνειν τρο
φὴν μιᾷ τὴν τοῦ γάλακτος ἀπόλαυσιν, ἔχειν ὄργανα πρὸς
τὴν ἐργασίαν τῆς τροφῆς. εἰ οὖν συνέβαινεν ὡς ἐκεῖνος λέ
γει πρὸς ἥβην, ἐνέλειπεν ἂν ἡ φύσις τῶν ἐνδεχομένων αὐτῇ
ποιεῖν τι. καὶ τὸ τῆς φύσεως ἔργον ἐγίγνετ' ἂν παρὰ φύσιν. τὸ δὲ
βίᾳ παρὰ φύσιν βίᾳ δέ φησι συμβαίνειν τῶν γένεσιν τῶν ὀδόν
των. ὅτι μὲν οὖν τῶν τοῦ καλῆθες, φανερὸν ἐκ τούτων καὶ τοιού
των ἄλλων. γίνονται δὲ πρότερον οὗτοι τῶν πλατέων. πρῶτον
μὲν. ὅτι καὶ τὸ ἔργον τούτων πρότερον. πρότερον γάρ ἐστι τοῦ
λεᾶναι τὸ διελεῖν. εἰσὶ δ' ἐκεῖνοι μὲν ἐπὶ τῷ λεαίνειν. οὗτοι δὲ
ἐπὶ τῷ διαιρεῖν, ἔπειτα, ὅτι τὸ ἔλαττον, κἂν ἅμα ὁρμηθείη,

Τ οὗτο τὸ ἐπιχείρημα, ἅμα πρὸς τὴν
Δημοκρίτειον ἐνίσταται δόξαν, καὶ
ἅμα συγκατασκευάζει, ὅτι οὐκέ-
στι παρὰ φύσιν ἐν τῷ καιρῷ τοῦ θη
λάζειν ἡ τῶν ὀδόντων ἔκφυσις, ἀλ
λὰ καὶ λίαν κατὰ φύσιν. λέγει
οὖν, ἐπειδὴ ἡ φύσις οὔτε ἐλλεί-
πει, τουτέστιν οὔθ' ὕστερον τοῦ προσή-
κοντος καιροῦ, οὔτε πρότερον ποιεῖ
τι τῶν ἐνδεχομένων περὶ ἕκα-
στον, ἀλλὰ πάντα ἐν τῷ ἁρμόζον
τι καιρῷ ἀποδίδωσιν, ἀνάγκη δὲ
μιᾷ τὴν τοῦ γάλακτος ἀπόλαυ-
σιν, τουτέστιν, ἀνάγκη δὲ μιᾷ τὸ
παύσασθαι τοῦ θηλάζειν ἔχειν ὄρ
γανα πρὸς τὴν τῆς τροφῆς ἐργα-
σίαν. εἴπερ παρὰ φύσιν εἰσὶν οἱ ὀ-
δόντες ἐν τῷ γ, καὶ δ, ε, τὲ καὶ

ϛ´, τῆς ἡλικίας ἔτει, ὡς ὁ Δημόκριτος βούλεται, κατὰ φύσιν δὲ πρὸς ἥβην, οὐκ ἔλιπεν ἂν ἡ φύσις τῶν ἐνδεχομένων αὐτῇ τι ποιεῖν. ὑποκείσθω δὲ φύειν τοὺς ὀδόντας ἀπὸ τοῦ ἑβδόμου ἔτους, καὶ ἐφεξῆς, ἐπειδὴ κατὰ Δημόκριτον οὗτός ἐστιν ὁ κατὰ φύσιν χρόνος τῆς ὀδοντοφυΐας ὥστε εἶναι τὰ παιδία ἀπὸ τῆς γενέσεως ἄχρι τοῦ ζ´, ἔτους νωδά, ἐπεὶ οὖν τὸ μακρότατον ἄχρι τοῦ τρίτου χρόνου θηλάζουσιν εἶτα παύονται, ἐν τῷ δ´, ε´, τε, καὶ ϛ´, πῶς ἂν ἐτρέφετο ὄργανα μὴ ἔχοντα πρὸς τὴν τῆς τροφῆς ἐργασίαν· ὥστε τὸ τοιοῦτον ἔργον τῆς φύσεως, ἤτοι τὸ ὀδόντας ἔχειν, καὶ ἐν τῷ τοῦ ϛ´, χρόνου κατὰ φύσιν ὑπάρχον συμβαίνει παρὰ φύσιν εἶναι κατὰ Δημόκριτον, εἴπερ βίᾳ κατὰ ἐκεῖνον τὸν καιρὸν ὡς φησὶ φύει. πᾶν δὲ τὸ βίᾳ παρὰ φύσιν.

θᾶττον πέφυκε γίνεσθαι τοῦ μείζονος. εἰσὶ δὲ ἐλάττους οὗτοι τῶν γομφίων τῷ μεγέθει. καὶ τῷ ὀστοῦν τῆς σιαγόνος, ἐκεῖ μὲν πλατὺ εἶναι, πρὸς δὲ τῷ στόματι στενόν.

Τ ὸ στενότερον ἴσον ἐστὶ τῷ, ὀλιγοτέραν, λέγει δὲ βραδυτέρως γίνεσθαι τοὺς γομφίους, διὰ τὸ πολλὴν τροφὴν ἐπιρρεῖν αὐτοῖς ἐκ τοῦ ὀστοῦ ἐν ᾧ εἰσίν. τὸ δὲ πολὺ δυσκατέργαστον. λέγει δὲ πάλιν φύειν τοὺς προσθίους ὀδόντας πεσόντος, διὰ τὸ τότε ὅτε πίπτουσιν, ἔτι καὶ τὸ ὀστοῦν ἐν ᾧ εἰσὶ φύειν, καὶ αὔξειν. οὕτω γὰρ ἔλεγε καὶ περὶ τῶν χελιδόνων, ὅτι ἄν τις τὰ ὄμματα αὐτῶν κεντήσῃ μικρῶν ὄντων τῶν νεοττῶν, πάλιν γίνεται, γινόμενα γάρ ἐστιν ἀλλ' οὐ γεγενημένα. φύουσι οὖν διὰ τὸ ἔτι φύειν τὸ ὀστοῦν, καὶ διὰ τὸ ἔτι ὥραν εἶναι γίνεσθαι τοὺς ὀδόντας. σημεῖον δὲ τοῦ ἔτι ὥραν εἶναι ὀδοντοφυΐας, ὅτι καὶ οἱ πλατεῖς φύονται πολὺν χρόνον, ἄχρι γὰρ τοῦ εἰκοστοῦ χρόνου ὥραν ἐκφύσεως ἔχουσιν. ἐνίοις δὲ φησὶ καὶ γηράσκουσι γεγένηνται οἱ ἔσχατοι, διὰ τὸ πολλὴν εἶναι τροφὴν ἐν τῇ εὐρυχωρίᾳ τοῦ ὀστοῦ. τὸ δὲ πολὺ δυσκατεργαστότατον καὶ βραδέως ἀγόμενον εἰς ὃ βούλεται ἡ φύσις αὐτὸ ἀναγαγεῖν.

Ε ἰ μὲν οὖν τοῦ μείζονος πλείω ἀνάγκη ἐπιρρεῖν τροφήν. ἐκ δὲ τοῦ ἐλάττονος, στενοτέραν. τὸ δὲ θηλάζειν, αὐτὸ μὲν οὐδὲν συμβάλλεται. ἡ δὲ τοῦ γάλακτος θερμότης, ποιεῖ βλαστάνειν τούτους τοὺς ὀδόντας. σημεῖον δὲ ὅτι καὶ αὐτῶν τῶν θηλαζόντων τὰ θερμοτέρῳ χρώμενα γάλακτι τῶν παιδίων, ὀδοντοφυεῖ θᾶττον. αὐξητικὸν γὰρ τὸ θερμόν. ἐκπίπτουσι δὲ γενόμενοι τοῦ μὲν βελτίονος χάριν, ὅτι ταχὺ ἀμβλύνεται τὸ ὀξύ. δεῖ οὖν ἑτέρους διαδέχεσθαι πρὸς τὸ ἔργον. τῶν δὲ πλατέων, οὐκ ἔστιν ἀμβλύτερον, ἀλλὰ τῷ χρόνῳ τριβόμενοι λεαίνονται μόνον. ἐξ ἀνάγκης δ' ἐκπίπτουσιν. ὅτι τῶν μὲν ἐν πλατείᾳ τῇ σιαγόνι, καὶ ἰσχυρῷ ὀστῷ αἱ ῥίζαι εἰσί. τῶν δὲ προσθίων, ἐν λεπτῷ. διὸ ἀσθενεῖς καὶ εὐκίνητοι. φύονται δὲ πάλιν ὅτι ἐν φυομένῳ τῷ ὀστῷ ἡ ἐκβολὴ γίνεται. καὶ ἔτι ὥρας οὔσης γίνεσθαι ὀδόντας. τούτου δὲ σημεῖον. ὅτι καὶ οἱ πλατεῖς φύονται πολὺν χρόνον. οἱ γὰρ τελευταῖοι, ἀνατέλλουσι περὶ τὰ εἴκοσιν ἔτη. ἐνίοις δὲ ἤδη καὶ γηράσκουσι γεγένηνται παντελῶς, οἱ ἔσχατοι. διὰ τὸ πολλὴν εἶναι τροφὴν ἐν τῇ εὐρυχωρίᾳ τοῦ ὀστοῦ. τὸ δὲ πρόσθιον, διὰ τὴν λεπτότητα ταχὺ λαμβάνει τέλος. καὶ οὐ γίνεται περίττωμα ἐν αὐτῷ. ἀλλ' εἰς τὴν αὔξησιν ἀναλίσκεται ἡ τροφὴ τὴν οἰκείαν.

Ο ἷς χρῆται ἡ φύσις, λέγει τὰ ὄργανα τουτέστι δὲ ἤτοι φυσικοῖς ὀργάνοις μόνον τι καὶ ἀλλ' οὗ ἕνεκά ἐστι δὲ ὃ λέγει τοιοῦτον

εἶπε γὰρ καὶ πρότερον, ὅτι τῆς ἀναπνοῆς, καὶ ἐκπνοῆς τὸ πνεῦμα αἴτιον εἶναι ἀπεφήνατο. τὸ ἀναπνεόμενον πνεῦμα, καὶ ὅλως ἅπαντα τὰ ὄντα, καὶ γινόμενα ἀνάγει εἰς τὰ ὄργανα, ὥστε οὕτως μὲν φησὶ διὰ τοῦ θηλάζειν ὡς δι' ὀργάνων τὴν ὀδοντοφυΐαν γίνεσθαι. ἔτι διὰ τοῦ πνεύματος ὁμοίως ὡς δι' ὀργάνου, καὶ ἄλλο δι' ἄλλου. οὐ δὲ

ἀλλ' οὐ διὰ ταῦτα προηγουμένως, ἀλλὰ διὰ τὸ τέλος, καὶ τὸ οὗ ἕνεκα. ὅμοιον οὖν τὸ αἰτιᾶσθαι τὰ ὄργανα πρὸς τὴν ἑκάστου γένεσιν. ὥσπερ εἴ τινος ῥεομένου διά τι τὸ αἷμα ἐκ τῆς φλεβὸς ῥεῖ, εἴποι τις ὅτι διὰ τὸ τὸν σίδηρον τεμεῖν αὐτήν, ἢ ὡς αὐτός φησι, διατί τὸ ὕδωρ ἐκ τῆς σαρκὸς ῥεῖ τοῦ ὑδρωπιῶντος, εἰπεῖν ὅτι διότι αὐτὸν μαχαίρα ἔτεμον, οὐ γὰρ διὰ [illegible] ταῦτα γίνεται, ἥ τε τοῦ αἵματος, καὶ τοῦ ὕδατος ῥύσις, ἀλλὰ διὰ [illegible] διὰ τὸ ὑγιαίνειν οὗ ἕνεκα τὸ μαχαίριον ἔτεμον. οὕτω δὴ πεπλήρωται καὶ τὸ παρὸν βιβλίον, καὶ ἡ παροῦσα πραγματεία περὶ ζῴων γενέσεως, καὶ αἱ εἰς αὐτὴν σχολαί.

Δ ημόκριτος δὲ τὸ οὗ ἕνεκα ἀφεὶς λέγειν, πάντα ἀνάγει, οἷς χρῆται ἡ φύσις. οὖσι μὲν τοιούτοις. οὐ μὴν, ἀλλ' ἕνεκά τινος οὖσι. καὶ τοῦ περὶ ἕκαστον βελτίονος χάριν. ὥστε γίνεσθαι μὲν οὐδὲν κωλύει οὕτω καὶ ἐκπίπτειν. ἀλλ' οὐ διὰ ταῦτα. ἀλλὰ διὰ τὸ τέλος. ταῦτα δ' ὡς κινοῦντα καὶ ὡς ὄργανα καὶ ὡς



καὶ ὡς ὕλης αἴτια. ἐπεὶ τὸ τῷ πνεύματι ἐργάζεσθαι τὰ πολλὰ εἰκὸς ὡς ὀργάνῳ. οἷον γὰρ ἔνια πολύχρηστά ἐστι τῶν περὶ τὰς τέχνας, ὥσπερ ἐν τῇ χαλκευτικῇ ἡ σφῦρα καὶ ὁ ἄκμων, οὕτως καὶ τὸ πνεῦμα ἐν τοῖς φύσει συνεστῶσιν. ὅμοιον δὲ ἔοικε τὸ λέγειν τὰ αἴτια ἐξ ἀνάγκης. κἂν εἴ τις διὰ τὸ μαχαίριον μόνον, οἴοιτο τὸ ὕδωρ ἐξεληλυθέναι τοῖς ὑδρωπιῶσιν, ἀλλ' οὐ διὰ τὸ ὑγιαίνειν οὗ ἕνεκα τὸ μαχαίριον ἔτεμε. περὶ μὲν οὖν ὀδόντων, διότι οἱ μὲν ἐκπίπτουσι καὶ γίνονται πάλιν, οἱ δ' οὔ, καὶ ὅλως διὰ τίν' αἰτίαν γίνονται, εἴρηται. εἴρηται δὲ καὶ περὶ τῶν ἄλλων τῶν κατὰ τὰ μόρια παθημάτων, ὅσα γίνεσθαι συμβαίνει μὴ ἕνεκά του. ἀλλ' ἐξ ἀνάγκης καὶ διὰ τὴν αἰτίαν τὴν κινητικήν.

Τέλος τοῦ πέμπτου καὶ τελευταίου Ἀριστοτέλους τῆς περὶ ζῴων γενέσεως πραγματείας.

aα bβ cγ dδ eε fζ gη hθ iι kκ lλ mμ nν oξ pο qπ rρ sσ tτ uυ.

*Omnes sunt terniones.*

*¶ Venetiis per Ioan. Antonium : & Fratres de Sabio. M. D. XXVI. Mense Februarii.*